ΠΡΑΓΜΑΤΕΙΑ

ΠΕΡΙ ΤΩΝ

ΡΗΜΑΤΙΚΩΝ ΕΠΙΘΕΤΩΝ

ΤΕΟΣ ΤΕΑ ΤΕΗ ΤΕΟΝ ΤΕΟΙ ΤΕΑΙ ΤΕΑ ΤΕΩΝ ΤΕΟΥΣ ΤΕΑΣ

ΠΑΡ ΕΠΤΑ ΚΑΙ ΕΙΚΟΣΙ ΠΟΙΗΤΑΙΣ ΤΕ ΚΑΙ ΠΕΖΟΙΣ ΣΥΓΓΡΑΦΕΥΣΙΝ

ΥΠΟ

ΑΝΔΡΕΟΥ ΠΑΠΑ ΓΕΩΡΓΙΟΥ

Τριπολίτου.

«Καὶ γὰρ ἐκείνων οἱ περὶ τὴν γραμματικὴν καὶ τὴν μουσικὴν καὶ τὴν ἄλλην παιδείαν διαπονηθέντες πρὸς μὲν τὸ βέλτιον εἰπεῖν ἢ βουλεύσασθαι περὶ τῶν πραγμάτων οὐδεμίαν λαμβάνουσιν ἐπίδοσιν, αὐτοὶ δ' αὑτῶν εὐμαθέστεροι γίγνονται πρὸς τὰ μείζω καὶ σπουδαιότερα τῶν μαθημάτων». Ἰσοκρ. περὶ ἀντιδόσεως 25, 267.

«In die Tiefe musst du steigen,
Soll sich dir das Wesen zeigen».

SCHILLER.



ΑΘΗΝΗΣΙΝ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Θ. ΠΑΠΑΛΕΞΑΝΔΡΗ

(Ὄπισθεν τῶν ἁγ. Θεοδώρων, ἀριθ. 6).

1880

ΠΡΑΓΜΑΤΕΙΑ

ΠΕΡΙ ΤΩΝ

ΡΗΜΑΤΙΚΩΝ ΕΠΙΘΕΤΩΝ

ΤΕΟΣ ΤΕΑ ΤΕΗ ΤΕΟΝ ΤΕΟΙ ΤΕΑΙ ΤΕΑ ΤΕΩΝ ΤΕΟΥΣ ΤΕΑΣ

ΠΑΡ ΕΠΤΑ ΚΑΙ ΕΙΚΟΣΙ ΠΟΙΗΤΑΙΣ ΤΕ ΚΑΙ ΠΕΖΟΙΣ ΣΥΓΓΡΑΦΕΥΣΙΝ

ΥΠΟ

ΑΝΔΡΕΟΥ ΠΑΠΑ ΓΕΩΡΓΙΟΥ

Τριπολίτου.

«Καὶ γὰρ ἐκείνων οἱ περὶ τὴν γραμματικὴν καὶ τὴν μουσικὴν καὶ τὴν ἄλλην παιδείαν διαπονηθέντες πρὸς μὲν τὸ βέλτιον εἰπεῖν ἢ βουλεύσασθαι περὶ τῶν πραγμάτων οὐδεμίαν λαμβάνουσιν ἐπίδοσιν, αὐτοὶ δ' αὑτῶν εὐμαθέστεροι γίγνονται πρὸς τὰ μείζω καὶ σπουδαιότερα τῶν μαθημάτων». Ἰσοκρ. περὶ ἀντιδόσεως 25, 267.

«In die Tiefe musst du steigen,
Soll sich dir das Wesen zeigen».

SCHILLER.



ΑΘΗΝΗΣΙΝ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Θ. ΠΑΠΑΛΕΞΑΝΔΡΗ

(Ὄπισθεν τῶν ἁγ. Θεοδώρων, ἀριθ. 6).

1880

ΑΝΔΡΕΑΣ ΠΑΠΑ ΓΕΩΡΓΙΟΥ

ΤΩΙ ΦΙΛΟΜΟΥΣΩΙ ΚΑΙ ΓΕΝΝΑΙΩΙ ΠΡΟΣΤΑΤΗΙ

ΤΩΝ

ΕΛΛΗΝΙΚΩΝ ΓΡΑΜΜΑΤΩΝ

ΓΕΩΡΓΙΩΙ ΖΑΡΙΦΗΙ

ΤΗΝΔΕ ΤΗΝ ΜΙΚΡΑΝ ΔΟΚΙΜΗΝ ΑΝΕΘΗΚΕΝ.

ΠΡΟΛΟΓΟΣ

Ἐπεὶ οἱ πλεῖστοι, τῶν τε γραμματικῶν καὶ συντακτικῶν κανόνων οὐ μόνον ἐξ ὅλων τῶν παραδειγμάτων οὐκ ἐγένοντο, οὐδὲ γοῦν ἐκ τῶν πλείστων, ἀλλ' ἐξ ὀλιγίστων, ὡς δηλοῖ νῦν μὲν ἥδε ἡ πραγματεία, μετ' οὐ πολὺ δὲ ἄλλαι, ὅθεν οὐδεὶς δύναται εἰπεῖν βεβαίως ὅτι ὁ μὲν δεῖνα κανὼν ὀρθός, ὁ δ' οὐκ ὀρθός· ὅπως γὰρ κανὼν ὀρθῶς ὁρισθῇ, δεῖ τὸν νομοθέτην πάντα τὰ παραδείγματα κρίνειν καὶ οὐκ ὀλίγιστα. Διὰ τοῦτο κἀγὼ ταῦτα διανοηθεὶς ἐπεχείρησα τήνδε τὴν πραγματείαν συγγράψαι.

Ἴσως δ' ἔνιοι τῶν κανόνων, ὡς καὶ ἐμοὶ δοκεῖ, τύχῃ ἀγαθῇ ὡρίσθησαν ὀρθῶς, τοῦτο δ' οὐκ ἔστιν ὀρθὸν βεβαιότητι, ἀλλὰ τύχῃ, ἐπεὶ τὸ μέρος τῶν παραδειγμάτων συμφέρεται τύχῃ τῷ ὅλῳ.

Εἰ ἡ γνώμη, ἣν ἔχω, ἀληθής ἐστιν ἢ οὔ, ὅτι ἥδε ἡ μέθοδος τῆς ἐμῆς πραγματείας ὠφέλειαν φέρει τοῖς φιλολόγοις καὶ δὴ τοῖς μὴ τοιούτοις, ἐπεί, οὐ μόνον ὁ τῶν φράσεων πίναξ δηλοῖ σαφῶς συντάξεις, φράσεις κτλ. ποιητῶν τε καὶ πεζῶν, ἀλλὰ καὶ τὰ λοιπά, τοῦτο γενήσεται δῆλον κατόπιν. Πρὸς δὲ τούτοις ἥδε ἡ μέθοδος ἡ πολὺν πόνον παρέχουσα οὐ μόνον τοὺς μὴ ὑγιῶς ὁρισθέντας κανόνας ὀρθῶς ὁρίζει, ἀλλὰ καὶ τοὺς ἀμφιβόλους τοὺς τύχῃ ἀγαθῇ ὀρθῶς ὁρισθέντας βεβαιοῖ ὅτι ὀρθῶς ὡρίσθησαν.

Ἐπεὶ δύναταί τις εἰπεῖν, ὡς οὐχ ἅπαντα τὰ τῶν ἀναφερομένων ποιητῶν τε καὶ πεζῶν παραδείγματά ἐστι, διὰ τοῦτο λέγω ὑμῖν ὅτι ἐφρόντισα, ὡς οἷόν τε, ὑπὲρ ὅλων· καὶ εἴ τι παραλέλειπται, συγγνώμην ἔχε ἐμοῦ παραλείψαντος ἀνθρωπίνῃ ἀσθενείᾳ.

Ἐμοὶ μὲν δὴ μέχρι τούτου γραφέσθω· τὰ δὲ μετὰ ταῦτα ἄλλῳ μελήσει.

Σὺν Θεῷ μετ' οὐ πολὺ πέποιθα οὐ μόνον τὴν τῶν τος πραγματείαν εἰς φῶς ἐλθεῖν οὖσαν περὶ τὰ δέκα φύλλα τοῦ τύπου, ἀλλὰ καὶ τὰς γραμματικὰς Θουκυδίδου, τῶν δέκα ῥητόρων, Πινδάρου, τῶν τριῶν μεγάλων τραγικῶν, ὡς καὶ τὰς τῶν ἄλλων, ὧν ἕνεκα μεγάλη ὠφέλεια, ὡς ἐμοὶ δοκεῖ, ἐλπίζεται· νῦν γὰρ οὐκ ἔστι μοι δυνατὸν ποιῆσαι τοῦτο, ἐπεὶ πολλαῖς δυστυχίαις ἐνέτυχον,

Οὐ χρώμεθα τοῖς ἐν τῇ κοινῇ γλώσσῃ τύποις «δέν, θά, νὰ κτλ.» βουλόμενοι καὶ ἄλλους ἀναγνώστας εἰς ἔννοιαν ἀγαγεῖν τῆς ὅλης πραγματείας.

Αἱ πλεῖσται τῶν παραπομπῶν γίνονται ἐπὶ τῷ τῶν φράσεων πίνακι.

ΒΙΒΛΙΑ ΒΟΗΘΗΤΙΚΑ ΚΑΙ ΕΚΔΟΣΕΙΣ

1. Ausfürhliche griechische grammatik von August. Matthia Leipzig 1835.

2. Ausführliche grammatik der griechischen sprache von Dr. Raphael Kühner Hannover 1869—1872.

3. Griechische Schul grammatik von Dr. Georg. Curtius Prag 1878.
4. Griechische Schul grammatik von Dr. Ernest Koch Leipzig 1878.
5. Griechische Sprachlehre für Shülen von K. W. Krüger Berlin 1862—1875.
6. Lexicon über die Formen der griechischen Verba von Georg. Traut Giessen 1867.
7. Curtius das verbum zweiter band. Leipzig 1876.

Πρὸς δὲ τούτοις πλεῖστα ἄλλα.

Β'. Ἐκδόσεις Ὁμήρου μὲν τὴν Guilielmi Dindorfii.
2. Ἡσιόδου Arminii Koechly Leipzig 1874.
3. Σαπφοῦς Theodorus Berck Lipsiae 1853.
4. Ἀνακρέοντος Valertino Rose Lipsiae 1876.
5. Πινδάρου W. Christ Lipsiae 1873.
6. Αἰσχύλου Guilielmi Dindorfii Lipsiae 1873.
7. Σοφοκλέους Cuilielmi Dindorfii Lipsiae 1876.
8. Εὐριπίδου Avgvsti Navckii Vol. I. II. III. Lipsiae 1850.
9. Ἀριστοφάνους Theod. Berck Lipsiae 1867.
10. Ἡροδότου Henr. Rudolph Dietsch Lipsiae 1878.
11. Ἀντιφῶντος Frider. Blass Lipsiae 1871.
12. Θουκυδίδου Godofred. Boehme Lipsiae 1876.
13. Γοργίου ἰδὲ Ἀντιφῶντα.
14. Ἀντισθένους ἰδὲ Ἀντιφῶντα.
15. Ἀλκιδάμαντος ἰδὲ Ἀντιφῶντα.
16. Ἀνδοκίδου Frider. Blass Lipsiae 1871.
17. Λυσίου Carolus Scheibe Lipsiae 1872.
18. Λυκούργου Carolus Scheibe Lipsiae 1877.
19. Ἰσοκράτους Gustavus Eduardus Benseler Lipsiae 1877.
20. Ἰσαίου Carolus Scheibe Lipsiae 1860.
21. Ὑπερείδου Fridericus Blass Lipsiae 1869.
22. Αἰσχίνου Fridericus Franke Lipsiae 1873.
23. Δημοσθένους Guilielmii Dindorfii 1874.
24. Δεινάρχου Fridericus Blass Lipsiae 1871.
25. Πλάτωνος Caroli Friderici Hermanni Lipsiae 1860.
26. Ξενοφῶντος Ludovicus Dindorfius Lipsiae 1876.
27. Αἰσχίνου τοῦ Σωκρατικοῦ Νεοφύτου Δούκα ἐν Βιέννῃ 1814.

Συνέγραφον ἐν Μονάχῳ καὶ Ἀθήναις τὸ 1879.

ΑΝΔΡΕΑΣ ΠΑΠΠΑΓΕΩΡΓΙΟΥ.

ΜΕΡΟΣ ΠΡΩΤΟΝ

ΚΕΦ. Α΄.

ΠΕΡΙ ΠΑΡΑΓΩΓΗΣ

Οἱ γραμματικοὶ ἀποφαίνονται γνώμην διάφορον περὶ τῆς τῶν ῥηματικῶν ἐπιθέτων *τος* καὶ *τέος* παραγωγῆς. Καὶ τούτων οἱ μὲν φασι ταῦτα ἐκ τοῦ ἐνεστῶτος γεγονέναι, οἱ δὲ ἐκ τοῦ παθητικοῦ παρακειμένου καὶ ἔνιοι λέγουσιν ὅτι τούτων τινὰ μὲν ἐκ τοῦ ἐνεστῶτος, τινὰ δὲ ἐκ τοῦ παθητικοῦ ἀορίστου Α΄. καὶ τινα ἐκ τοῦ παθ. παρακειμένου κτλ.

Πιθανώτερον φαίνεταί μοι ὅτι ταῦτα, σχεδὸν ἅπαντα, ἐκ τῆς τοῦ Α΄. ἀορίστου παθ. μετοχῆς παρήχθησαν οἷον Ποιέω ἐποιήθην ποιη-θεὶς ποιη-τὸς τέος, Γιγνώσκω ἐγνώσθην γνωσ-θεὶς γνωσ-τέος, Δίδωμι ἐδόθην δο-θεὶς δο-τέος κτλ, ἐπεὶ τῇ μὲν ἐκ τοῦ ἐνεστῶτος παραγωγῇ ἐναντιοῦνται τὰ ἐκ τοῦ Βάλλω βλητέος, Καλῶ κλητέος, Πλέω πλευστέος, Λαμβάνω ληπτέος, Βόσκω βοσκητέος, Φέρω οἰστέος, Ὁράω ὀπτέος κτλ., τῇ δὲ ἐκ τοῦ παρακειμένου τὰ ἐκ τοῦ Χράομαι κέχρηται (ἐχρήσθην) χρηστέος, ἐπιμιμνήσκω ἐπιμέμνημαι (ἐπεμνήσθην) ἐπιμνηστέος, Δράω δέδραμαι (ἐδράσθην) δραστέος, Γεύω γέγευμαι (ἐγεύσθην) γευστέος κτλ. Πρὸς δὲ τούτοις τὰ ἐκ τοῦ Ἐπαινέω ἐπήνημαι (ἐπηνέθην) ἐπαινετέος, εὑρίσκω εὕρημαι (εὑρέθην) εὑρετέος, Τρέφω τέθραμμαι (ἐθρέφθην) θρεπτέος, Περιτρέχω περιδεδράμημαι περιθρεκτέος κτλ.

Σημ. α΄. Προσεκτέον ὑμῖν ἐστι τὸν νοῦν τοῖς ἐκ τοῦ Εἰμὶ (ἐςέος) συνεςέος, Εἶμι Ἰτέος καὶ Ἰτητέος Οἶδα Ἰστέος.

Σημ. β΄. Διττὰ ῥηματικὰ γέγονεν ἔκ τινων ῥημάτων οἷον Ἔχω ἑκτέος καὶ ἐπισχετέος, Λαμβάνω ληπτέος καὶ παρ' Ἡροδότῳ καταλαμπτέος, Εἶμι Ἰτέος καὶ Ἰτητέος.

ΚΕΦ. Β΄.

ΠΕΡΙ ΚΑΤΑΛΗΞΕΩΣ

Τὰ ῥηματικὰ ἐπίθετα *τέος* διαιροῦνται εἰς *τέος, κτέος, στέος, πτέος*.[1] Καὶ τὰ μὲν *τέος* παράγονται ἐκ τῶν ῥημάτων

1) *έω* οἷον Ἀθρητέος, Αἱρετέος, Ἀναιρετέος, Ἀφαιρετέος, Διαιρετέος, Ἐξαιρετέος, Καθαιρετέος, Προαιρετέος, Ἀναχωρητέος, Ξυγχωρητέος, Παραχωρητέος, Συγχωρητέος, Ἐγχειρητέος, Ἐπιχειρητέος, Θεωρητέος, Κατηγορητέος, Ὀλιγωρητέος, Λιπαρητέος, Μετρητέος, Μισθοφορητέος, Τηρητέος, Τιμωρητέος. 2) Ὀκνητέος, Ἀποκνητέος, Διασκηνητέος, Ἐρευνητέος, Διερευνητέος, Ἐπαινετέος, Κινητέος, Ὑποκινητέος, Κοινωνητέος, Μηχανητέος, Πλανητέος, Πονητέος, Ὑμνητέος, Φρονητέος, Χειροτονητέος, Ὠνητέος. 3) Ἀκολουθητέος, Ἐπακολουθητέος, Βοηθητέος, Μοχθητέος, Παραμυθητέος. 4) Ἀθυμητέος, Ἐνθυμητέος, Εὐθυμητέος, Προθυμητέος, Μιμητέος, Οἰκοδομητέος, Πολεμητέος. 5) Ἀδικητέος, Ἀσκητέος, Φιλονικητέος, Πολιορκητέος, Προσδοκητέος. 6) Νοητέος, Διανοητέος, Ἐννοητέος, Κατανοητέος, Ὁμονοητέος, Προνοητέος, Προσδιανοητέος, Ποιητέος. 7) Αἰτητέος, Ἐξαιτητέος, Ἐξαπατητέος, Ἐπιστατητέος, Εὐεργετητέος, Ζητητέος, Νομοθετητέος, Νουθετητέος, Πλεονεκτητέος. 8) Ἀποπατέος, Συγκρατέος. 9) Ἀμφιβολογητέος, Ἡγητέος, Εἰσηγητέος, Ὁμολογητέος, Ἀνομολογητέος, Διομολογητέος, Ἀπολογητέος, Μυθολογητέος, Στρατηγητέος. 10) Ἀμελητέος, Ἐπιμελητέος, Ἁμιλλητέος, Κλητέος, Παρακλητέος, Φιλητέος, Ὠφελητέος,

Σημ. ά. Περὶ πάντων τούτων ἴδε τὸν τῶν φράσεων πίνακα.

Προσωφελητέος. 11) Εὐλαβητέος, Διευλαβητέος, Φοβητέος. 12) Κατασιωπητέος, Λυπητέος. 13) Μισητέος. 14) Φιλοσοφητέος. 15) Φιλοψυχητέος.

2) *άω* οἷον Αἰτιατέος, Ἀκροατέος, Ἀποδειλιατέος, Ἐατέος, Θεατέος, Διαθεατέος, Θηρατέος, Πειρατέος, Ἀποπειρατέος. 2) Ἀγαπητέος, Ἀνερωτητέος, Ἀπαντητέος, Ἡσσητέος, Κατασιωπητέος, Κτητέος, Κυβερνητέος, Μελετητέος, Νικητέος, Σιγητέος, Τιμητέος, Ἀτιμητέος, Προτιμητέος, Τολμητέος, Φοιτητέος, Φυσητέος.

3) *εύω* οἷον Βουλευτέος, Συμβουλευτέος, Δουλευτέος, Ἐκστρατευτέος, Ἐπιτηδευτέος, Θεραπευτέος, Ἱκετευτέος, Κινδυνευτέος, Διακινδυνευτέος, Μαντευτέος, Μνημονευτέος, Παιδευτέος, Πιστευτέος, Πορευτέος, Ἐμπορευτέος, Προσαγορευτέος, Χορευτέος.

4) *ύω* οἷον Ἀποδυτέος, Θυτέος, Ἱδρυτέος, Λυτέος, Ἀπολυτέος, Παραλυτέος, Κωλυτέος, Διακωλυτέος.

5) *όω* οἷον Ἀφομοιωτέος, Ἀναλωτέος, Βιωτέος, Διαβιωτέος, Γυμνωτέος, Δηλωτέος, Ἐξισωτέος, Ἐπανορθωτέος, Καθιερωτέος, Μαστιγωτέος.

6) *νω* οἷον Διαβατέος, Καταβατέος. 2) Κριτέος, Ἀποκριτέος, Διακριτέος, Ἐγκριτέος, Ἐκκριτέος, Ποτέος, Συνεκποτέος. 3) Ἀποκμητέος, Τμητέος, Ἀποτμητέος. 4) Μενετέος, Ἐμμενετέος, Ὑπομενετέος. 5) Ἐπεξαμαρτητέος, Μαθητέος, Προσμαθητέος. 6) Ἐλατέος. 7) Ξυντατέος. 8) Μεταδετέος, Συνδετέος.

7) *σκω* οἷον Βοσκητέος, Εὑρετέος, Ἐξευρετέος, Πρατέος.

8) *μω* οἷον Διανεμητέος, Ἐπινεμητέος.

9) *λλω* οἷον Ἀποβλητέος, Ἐκβλητέος, Ἐμβλητέος, Ἐπεμβλητέος, Καταβλητέος, Μεταβλητέος.

10) *λω* οἷον Μελητέος.

11) *μαι* οἷον Μαχετέος, Διαμαχετέος, (εὑρίσκεται καὶ Διαμαχητέος) Δυσμαχετέος.

12) *μι* οἷον Δοτέος, Ἀνταποδοτέος, Ἀποδοτέος, Διαδοτέος, Ἐκδοτέος, Μεταδοτέος, Παραδοτέος, Προδοτέος. 2) Στατέος, Ἀποστατέος, Καταστατέος, Μεταστατέος, Ὑπαναστατέος. 3) Θετέος, Ἀναθετέος, Διαθετέος, Ἐπιθετέος, Μεταθετέος, Ξυνθετέος, Προσθετέος, Ὑποθετέος. 4) Ἀνετέος, Ἀφετέος, Μεθετέος, Παρετέος, Προετέος. 5) Ἰτέος Ἀπιτέος, Διιτέος, Ἐπανιτέος, Περιιτέος, Προσιτέος· Ἰτητέος, Διεξιτητέος, Ἐξιτητέος, Παριτητέος. 6) Φατέος, Ἀφατέος καὶ Φατειὸς ἀντὶ Φατέος.

Πρὸς δὲ τούτοις καὶ τὰ Ἐπισχετέος (περὶ οὗ ὅρα καὶ Γ'. 3.) Γεγωνητέος καὶ Ῥητέος, Ἀντιρρητέος, Προρρητέος, Προσρητέος.

Β'.

τὰ δὲ *στέος* ἐκ τῶν

1) *ζω* (άζω, ίζω, όζω, ώζω) οἷον Ἀναβιβαστέος, Καταβιβαστέος, Ἀναγκαστέος, Προσαναγκαστέος, Ἀπεικαστέος, Ἀτιμαστέος, Βιαστέος, Γυμναστέος, Δοκιμαστέος, Ἀποδοκιμαστέος, Ἐξεταστέος, Ἐργαστέος, Περιεργαστέος, Θαυμαστέος, Κολαστέος, Ὀνομαστέος, Ἐπονομαστέος, Σκευαστέος, Κατασκευαστέος, Παρασκευαστέος, Σπαστέος, Ἀσπαστέος, Σπουδαστέος, Στεγαστέος, Ὑπτιαστέος, Φραστέος. 2) Ἁγνιστέος, Ἀγωνιστέος, Προαγωνιστέος, Ἀνδριστέος, Ἀφανιστέος, Ἐμφανιστέος, Βαδιστέος, Βασανιστέος, Ἐθιστέος, Ξυνεθιστέος, Ἐρεθιστέος, Ἰσχυριστέος, Καθαριστέος, Κακιστέος,

Καταψηφιστέος, Κομιστέος, Λογιστέος, Προσλογιστέος, Συλλογιστέος, Ὑπολογιστέος, Μαλακιστέος, Μαλθακιστέος, Νομιστέος, Ὀνειδιστέος, Ὁπλιστέος, Ὀργιστέος,, Ὁριστέος, Διοριστέος, Ὑβριστέος, Φροντιστέος, Χαριστέος, Χρηματιστέος, Χωριστέος, 3) Ξυναρμοστέος. 4) Σωστέος, Διασωστέος.

2) *ούω* οἷον Ἀκουστέος, Ὑπακουστέος, Κρουστέος, Ἀνακρουστέος.

3) *δω* οἷον Ἀστέος, Ἐπᾳστέος, Ἐδεστέος, Σπευστέος, Φειστέος, Ἰστέος, Διιστέος.

4) *αύω* οἷον Παυστέος.

5) *θω* οἷον Πειστέος, Πευστέος.

6) *ρω* οἷον Οἰστέος, Ἀνοιστέος, Διοιστέος, Ἐξοιστέος, Προσοιστέος.

Γ΄.

τὰ δὲ *κτέος* ἐκ τῶν

1) *κω* οἷον Διωκτέος, Μεταδιωκτέος, Ἑλκτέος, Ἐξελκτέος, Ὑφελκτέος Ἐπεικτέος, Ὑπεικτέος.

2) *γω* οἷον Ἀκτέος, Εἰσακτέος, Ἐξακτέος, Περιακτέος, Προσακτέος, Συνακτέος. 2) Λεκτέος, Ἀντιλεκτέος, Διαλεκτέος, Ἐκλεκτέος, Καταλεκτέος. 3) Ληκτέος. 4) Εἰρκτέος. 5) Στερκτέος. 6) Φευκτέος, Προσφευκτέος.

3) *χω, χομαι* οἷον Ἑκτέος, Ἀνεκτέος, Ἀνθεκτέος, Ἀφεκτέος, Μεθεκτέος, Παρεκτέος, Προσεκτέος, Συνεκτέος, Ὑφεκτέος. 2) Περιθρεκτέος. 3) Ἐλεγκτέος. 4) Ἀρκτέος. 5) Εὐκτέος. 6) Ἀποδεκτέος, Παραδεκτέος, Προσδεκτέος Ὑποδεκτέος.

4) *σσ(ττ)ω* οἷον Ἀνταλλακτέος, Ἀπαλλακτέος, Ἀπομυκτέος, Καταπληκτέος, Πρακτέος, Διαπρακτέος, Τακτέος, Προστακτέος, Πρατακτέος, Φυλακτέος.

5) *κνυμι* καὶ *γνυμι* οἷον Δεικτέος, Ἀποδεικτέος, Ἐπιδεικτέος, Μικτέος, Ξυμμικτέος, Ἀνοικτέος.

Δ΄.

καὶ τὰ *πτέος* ἐκ τῶν

1) *πω* οἷον Βλεπτέος, Ἀποβλεπτέος, Λειπτέος, Ἀπολειπτέος, Παραλειπτέος, Τρεπτέος, Ἐπιτρεπτέος, Πεμπτέος, Μεταπεμπτέος.

2) *πτω* οἷον Ἁπτέος, Προσαπτέος, Θαπτέος, Κλεπτέος, Κρυπτέος, Σκεπτέος, Διασκεπτέος, Ἐπισκεπτέος, Συσκεπτέος, Τυπτέος, Περικαλυπτέος, Συγκαλυπτέος.

3) *φω* οἷον Γραπτέος, Περιγραπτέος, Ἀναστρεπτέος, Ἐξαλειπτέος, Θρεπτέος.

4) Προσέτι δὲ καὶ τὰ ἐκ τοῦ ὁράω οἷον Κατοπτέος, Παροπτέος, Περιοπτέος, Προοπτέος, Ὑπεροπτέος.

Ε΄.

1. Προσεκτέον τὸν νοῦν τοῖς Αἰσχυντέος, Ἀμυντέος, Διαπεραντέος, Δυσχεραντέος, Ἐχθαρτέος καὶ Ποικιλτέος.

Σημ. ά. Τοῦ μὲν Α΄, κανόνος διαφέρουσι τὰ ἐκ τῶν 1) Ἀποθέω ἀπωστέος, Ἐπιτελέω ἐπιτελεστέος, Πλέω πλευστέος, Νέω νευστέος. 2) Δράω δραστέος. 3) Γεύω γευστέος, Κελεύω κελευστέος. 4) Ἀποτίνω ἀποτιστέος,

Λαμβάνω ληπτέος, ἀναληπτέος, ἀντιληπτέος, διαληπτέος, μεταληπτέος, ξυλληπτέος, παραληπτέος, συμπεριληπτέος, ὑποληπτέος, καὶ καταλαμπτέος. 5) Διδάσκω διδακτέος, Γιγνώσκω γνωστέος, Ἐπιμιμνήσκω ἐπιμνηστέος. 6) Συνελκύω συνελκυστέος, Ἀπαρύω ἀπαρυστέος. 7) Χράομαι χρηστέος, προσχρηστέος καὶ 8) Σύνειμι συνεστέος, Ἐμπίπλημι ἐμπληστέος.

Τοῦ δὲ Β', τὰ ἐκ τοῦ Στενάζω στενακτέος καὶ καθεύδω καθευδετέος.

Καὶ τοῦ Γ', τὸ ἐκ τοῦ Ἐπέχω ἐπισχετέος.

ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ

ΚΕΦ. Α'.

ΠΕΡΙ ΡΗΜΑΤΟΣ

1. Τούτων ῥήματα φέρεται ὡς ἐπὶ τὸ πολὺ μὲν τὸ εἰμί, ἅπαξ δὲ τὸ γίγνομαι καὶ πάρειμι ἐν τοῖς ἑξῆς χρόνοις, ἐγκλίσεσι καὶ προσώποις οἷον,

1) *Ἐστὶ(ν)* 2, 32. 38, 3. 40, 4. κτλ.
2) *Ἔστι(ν)* 2, 94, 8. 281, 5. 353.+69. κτλ.
3) *Εἶ* 1, 2.
4) *Ἐσμὲν* 5, 11.
5) *Εἰσὶν* 5, 3. 4.
6) *Ἐστὲ* 7, 4.
7) *Ἦν* 2, 8, 5. 178, 2. 132. 295. 327, 2. κτλ.
8) *Ἔην* 1, 34.
9) *Ἦ* 2, 325, 11. 353, 20.
10) *Εἴη* 2, 33. 188. 216, 2. κτλ.
11) *Ἂν εἴη* 2, 13, 3. 104. 193. κτλ.
12) *Ἂν-εἴη* 2, 94, 7. 120, 7. 319, 15. κτλ.
13) *Ἂν εἴησαν* 5, 5.
14) *Ἔσται* 2, 18. 319, 2. 342. κτλ.
15) *Ἔσονται* 5, 1.
16) *Εἶναι* 2, 348. 353, 11. 52. 53. κτλ.
17) *Ὂν* 2, 120, 5. 185, 4. 251. κτλ.
18) *Ὄντων* 6, 1.
19) *Ὄντα* 10, 45.
20) *Ἐόντα* 10, 43, 2.
21) *Γίγνοιτ' ἂν* 10, 28.
22) *Παρῇ* 2, 325, 10.

Συνήθη δ' ἐστὶ τὰ ἐστὶν, εἴη καὶ εἶναι.

2. Τὰ ῥηματικὰ ταῦτα ἐπίθετα ὁτὲ μὲν εὑρίσκονται ἐν τοῖς ἄνω ῥήμασιν, ὁτὲ δὲ ἄνευ αὐτῶν, ὅποι ἐννοητέον ταῦτα εἴτε ἔξωθεν συνήθως 2, 36, 1. κτλ. εἴτε σπανιώτερον ἐκ τῶν ἡγουμένων εἴτε σπανίως ἐκ τῶν ἑπομένων 2, 134, 1. 2, 25. κτλ.

ΘΕΣΙΣ ΤΟΥ ΡΗΜΑΤΟΣ

Τὸ ῥῆμα προτάσσεται ἢ ἐπιτάσσεται τοῦ ἐπιθέτου· καὶ προτασσομένου ἢ

ἐπιτασσομένου φέρεται ὁτὲ μὲν πλησίον τοῦ ἐπιθέτου, ὁτὲ δὲ πόῤῥω οἷον 2, 59. 120, 16. 355. 17.

Δύο ἢ πλειόνων τῶν ἐπιθέτων, τὸ ῥῆμα φέρεται ἢ ἐν τῷ μέσῳ τούτων 2, 385. ἢ πρὸ τούτων 2, 306. ἢ ἐν τῷ τέλει 2, 322. ἢ σπανίως ἐπαναλαμβάνεται δὶς καίπερ ἐν τῷ πρώτῳ εὑρισκόμενον, 2, 325, 18.

ΚΕΦ. Β'.

ΠΕΡΙ ΥΠΟΚΕΙΜΕΝΟΥ ΚΑΙ ΠΟΙΟΥΝΤΟΣ ΑΙΤΙΟΥ

1. Τὴν τοῦ ὑποκειμένου καὶ ποιοῦντος αἰτίου διαφορὰν δηλοῦσι τὰ Ποταμὸς δ' εἰ μέν τις καὶ ἄλλος ἄρα ἡμῖν ἐστι διαβατέος οὐκ οἶδα· Ξενοφ. ΚΑ, Β, 4, 6. ἢ ἐξελεγκτέος δὴ οὗτος ὁ λόγος ἡμῖν ἐστιν, ὡς . . . . . Πλάτ. Γοργ. 63, 508. Ἵν' οὖν μὴ παντάπασιν ἐκλυθῶ πολλῶν ἔτι μοι λεκτέων ὄντων, Ἰσοκρ. 15, 59. ἰδὲ 6, 2. 7, 2. κτλ.

2. Οἱ γραμματικοὶ, οἳ εἰς τὴν ἡμετέραν ὄψιν ἐνέπεσον, διατείνονται ὅτι τὸ τῶν ῥηματικῶν τούτων ἐπιθέτων ποιοῦν αἴτιον εὑρίσκεται συνήθως μὲν ἐν δοτικῇ, σπανίως δὲ ἐν αἰτιατικῇ ἄνευ τοῦ *ἐστιν*· πρὸς δὲ τούτοις ὁ Krüger φησὶν ὅτι οὐδέποτε εὑρίσκεται τὸ ποιοῦν αἴτιον ἐν τῇ *ὑπὸ* καὶ γενικῇ. Ἀλλ' ἐπειδὴ, ὡς δεδήλωταί μοι ἐν τῷ προλόγῳ, οὐκ ἐγένοντο ταῦτα ἐξ ὅλων τῶν παραδειγμάτων, ἀλλ' ἐξ ὀλιγίστων, ἔνια τῶν παραδειγμάτων ἐναντιοῦνται τούτοις. Καὶ δὴ λέγομεν ὅτι ἐν τοῖς ῥηματικοῖς τούτοις ἐπιθέτοις τὸ ποιοῦν αἴτιον ὁτὲ μὲν οὐχ εὑρίσκεται, ἀλλ' ἐννοητέον ἔξωθεν, ἢ ἐκ τῶν ἡγουμένων 2, 52. κτλ. 2, 62. κτλ. ὁτὲ δὲ εὑρίσκεται ἐν τῇ δοτικῇ, αἰτιατικῇ μετὰ ἢ ἄνευ ῥήματος καὶ σπανιώτερον ἐν τῇ *ὑπὸ*. *διὰ* καὶ γενικῇ. Μαρτυρεῖ δέ μοι τῇ γνώμῃ τὰ 1, 4. κτλ. 2, 16 κτλ, 2, 303. 329 κτλ. 2, 62. καὶ 2, 345.

Σημ. α'. Τὸ ποιοῦν αἴτιον συνήθως μὲν εὑρίσκεται ἐν τῷ ἑνικῷ καὶ πληθυντικῷ, σπανιώτερον δὲ ἐν τῷ δυϊκῷ οἷον 2,41 κτλ. 2,38,2. κτλ.2,78,3.κτλ.

Σημ. β'. Εἰ δύο ἐστὶ τὰ ποιητικὰ αἴτια, φέρονται ταῦτα ἐν ὁμοίᾳ, ὡς ἐπὶ τὸ πολὺ, πτώσει καὶ ἀριθμῷ 2, 66, 5. κτλ. σπανιώτερον δὲ ἐν ἄλλῃ πτώσει 2, 353, 12. καὶ ἀριθμῷ 2, 319, 52. καὶ 2, 245, 2. κτλ.

Σημ. γ'. Προσεκτέον ὑμῖν ἐστι τὸν νοῦν, ὡς ἐμοὶ δοκεῖ, τοῖς 2, 76. Οὐ γὰρ ἔτ' ἂν ἀνεκτὰ ταῦτ', ἀλλὰ βασανιστέον τόδε *σοι* τὸ πάθος *μετ' ἐμοῦ* 'σθ' ὅ,τι βουλόμεναί ποτε τὴν Κραναὰν κατέλαβον, Ἀριστ. Λυσιστρ. 478. 2, 353, 22. Ἀλλ' ὅμως τὰ μὲν ἄλλα ἔχω περὶ αὐτὰ μετρίως, σμικρὸν δέ τι ἀπορῶ, ὃ *μετὰ σοῦ* τε καὶ *τῶνδε* σκεπτέον. Πλάτ. Θεαίτ. 3, 145, D. 2, 369. Κοινῇ δὲ *μετ' ἐμοῦ σοι* συσκεπτέον ἀρχομένῳ πρῶτον, ὡς ἐμοὶ φαίνεται, νῦν ἀπὸ τοῦ σοφιστοῦ, ζητοῦντι καὶ ἐμφανίζοντι λόγῳ τί ποτ' ἐστι. Πλάτ. Σοφ. 3, 218, β. προσέτι δὲ τὰ 2, 353, 12. Ὁρῶ γὰρ ὅτι μᾶλλον *ὑμῖν* ἢ *ἐμοὶ* σκεπτέον ὅπως ὁ Ἀσσύριος ἡμῶν μὴ ἐπικρατήσει. Ξενοφ. ΚΠ, 5, 2, 23. 2, 319, 49. Ἀθ. Ἀλλὰ γὰρ ἀγῶνα προφάσεις οὔ φασι δέχεσθαι· καὶ δὴ καὶ *σοὶ* τοῦτο νῦν καὶ *ἐμοὶ* ποιητέον, ἐπείπερ σὺ . . . . Πλάτ. Νομ. ς'. 1, 751, D. κτλ.

Λέγεται δ' ὅτι ἡ *μετὰ* μετὰ γενικῆς σημαίνει τὸ ὁμοῦ, συμφώνως. Ἐρωτῶμεν, ὁμοῦ ἢ συμφώνως τίνι τοῦτο γενήσεται; οὐκ ἄραγε ὁμοῦ ἢ συμφώνως τῇ δοτικῇ; Ὅ,τι ἄρα σημαίνει ἡ δοτικὴ τοῦτ' αὐτὸ καὶ ἡ μετὰ καὶ γενική.

Τάχ' ἄν τις ἐνστῆναι τοῖς εἰρημένοις εἴποιεν ὅτι τὸ *μετὰ* καὶ γενικὴ ὑποληπτέον μετριωτέραν ἔκφρασιν τῆς δοτικῆς, τοῦτο καὶ ἐμοὶ δοκεῖ, ἀλλ' οὐ κωλύει ἡμᾶς ὅπως θεωρήσωμεν ποιοῦν αἴτιον τοῦτο. Τὸ 2, 369 ὅμως σαφῶς δηλοῖ ὅτι οὐδὲν ἀλλήλων διαφέρουσιν ἡ δοτικὴ καὶ ἡ *μετὰ* καὶ γενική. Πρὸς δὲ τούτοις πρόσεχε τὸν νοῦν καὶ τῷ 2, 225. Κολαστέον ἄρ' ἂν εἴη κατά γε τὸν σὸν λόγον τὸν πατέρα· αἴτιον τῆς κολάσεως, ὡς ἐμοὶ φαίνεται, ἐστι τὸ «κατά γε τὸν σὸν λόγον,» ἐὰν δὲ τοῦτο παραλειφθῇ, κόλασις οὐ γίγνεται· καί ἐστιν ἴσον τῷ=τῷ σῷ λόγῳ=ὑπὸ τοῦ σοῦ λόγου, σοὶ ἄρα ἢ ὑπὸ σοῦ. Τὸ παράδειγμα τοῦτο δύναται καὶ τήνδε τὴν ἑρμηνείαν ἔχειν, ἣν τινες ἡγήσονται, δηλ. κολαστέον κατά γε τὸν σὸν λόγον τὸν πατέρα ἐμοὶ ἢ τινί, ὅπερ ἐμὲ οὐ πείθει. Ἡ νεωτέρα ἡμῶν γλῶσσα δηλοῖ σαφέστερον τὴν κατανόησιν τούτου· καὶ δὴ λέγομεν ὅτι τὸ κατ' ἐμὲ τοῦτο ἔχει οὕτως, κατὰ τὸ σύγγραμμα τοῦ Δημητρίου ὁ τάδε κανὼν ὁρίζεται οὕτως. . . . . ὅπερ ἐστὶν ἴσον=ὑπὸ τοῦ Δημητρίου ὁ κανὼν ὁρίζεται οὕτως, ἢ ὁ Δημήτριος οὕτως ὁρίζει τὸν κανόνα. Καὶ ἐνταῦθα ἡ *κατὰ* σημαίνει τὸ συμφώνως, ὅπερ ἐστὶν ἴσον τῷ ποιοῦντι αἰτίῳ.

Καὶ περὶ τούτων ἐγὼ μὲν ἔχω αὐτὴν τὴν γνώμην, ἴσως δ' ἄλλοι ἄλλως.

Σημ. δ'. Ὅτι ἡ δοτικὴ καὶ ἡ αἰτιατικὴ τοῦ ποιοῦντος αἰτίου οὐδὲν ἀλλήλων διαφέρουσι, δείκνυται ἐκ τοῦ 2, 79, 2. καὶ 3.

ΚΕΦ. Γ'.

ΠΕΡΙ ΑΝΤΙΚΕΙΜΕΝΟΥ ΚΑΙ ΠΡΟΣΔΙΟΡΙΣΜΟΥ

Τὸ ἀντικείμενον καὶ ὁ προσδιορισμὸς εὑρίσκεται ἐν τοῖς ῥηματικοῖς τούτοις ἐπιθέτοις ὡς ἐν τοῖς ῥήμασιν ἐξ ὧν παράγονται. περὶ οὗ ὅρα τὸν τῶν φράσεων πίνακα.

ΚΕΦ. Δ'.

ΠΕΡΙ ΣΥΝΔΕΣΕΩΣ, ΑΡΝΗΣΕΩΣ ΚΑΙ ΧΡΗΣΕΩΣ

1. Ἡ σύνδεσις τῶν ῥηματικῶν ἐπιθέτων γίγνεται 1) ἐκ τῶν *καὶ* 2, 32. 2) *τε* 2, 385. 3) *τε-καὶ* 10, 1, 5. 4) *τε-καὶ-καὶ* 10, 18. 5) *μὲν-δὲ* 10, 43, 5. 6) *Ἢ* 2, 40, 4. 7) *Ἢ-Ἢ* 2, 206. 8) *Οὐ-οὐδὲ* 2, 211. 9) *Οὐ-οὐδὲ-ἀλλὰ* 10, 12. 10) *Οὐ-ἀλλὰ* 2, 60. 11) *Οὐ-ἀλλὰ-καὶ* 2, 25. καὶ 12) *οὔτε-οὔτε* 2, 245, 2.

2. Ἡ συνήθης ἄρνησις ἐν τοῖς ῥηματικοῖς τούτοις ἐπιθέτοις ἐστὶν ἡ *οὐ* καὶ σπανιώτερον ἡ *μὴ* καὶ σπανιώτατα ἡ *μὴ οὐ* οἷον 1, 26. 2, 86. καὶ 2, 353, 20.

3. Περὶ τῆς εἰς τοὺς ποιητὰς καὶ πεζοὺς συνήθους χρήσεως τούτων πολλοὶ λόγοι ἐλέχθησαν. Καὶ ὁ μὲν Matthia 220, 1. καὶ 447, 1. πόρρω ἀφιστάμενος τῆς ἀληθείας λέγει ὅτι οἱ Ἀττικοὶ συνήθως μὲν χρῶνται τοῖς *τέα* πληθ. καὶ σπανιώτερον τοῖς *τέον*· λέγων τοῦτο δῆλόν ἐστιν ὅτι μόνον τὰ τοῦ Θουκυδίδου ἐγίγνωσκε, καὶ ταῦτα οὐκ ὀρθῶς, ἐπεὶ ἰσάριθμα παρὰ Θουκυδίδῃ *τέα* καὶ *τέον*, παρὰ δὲ τοῖς ἄλλοις Ἀττικοῖς ἢ οὐδαμοῦ τὰ *τέα* εὑρίσκονται, οἷον παρ' Ἰσοκράτει, Λυσίᾳ, Ὑπερείδῃ, Λυκούργῳ, Ἀντιφῶντι καὶ λοιποῖς, ἢ σπάνιά ἐστιν ἐν συγκρίσει πρὸς τὰ *τέον* περὶ ὧν ἰδὲ πίνακα Β', Α. ὁ δὲ Kühner 332, 7. ἔν τισι μὲν λέγει ὀρθῶς, ἔν τισι δ' οὔ· λέγει δ' οὖν ταῦτα παρ' Ὁμήρῳ μὲν ἄγνωστα εἶναι, παρ' Ἡσιόδῳ δὲ μόνον τὸ *φατειός* ἐν τρισὶ χωρίοις, παρὰ δὲ τοῖς Ἀριστοφάνει, Ξενοφῶντι καὶ Πλάτωνι συνήθη, καὶ

παρὰ τῇ ὑψηλῇ γλώσσῃ τῶν ποιητῶν σπάνια. Ὁ δὲ μέγας γραμματικὸς Gurtius, ᾧ πλεῖστοι ἔπαινοι προσήκουσι, τῶν σοφῶν αὐτοῦ ἕνεκα συγγραμμάτων, ὁρίζει ταῦτα ἐγγύτερον τῶν ἄλλων· λέγει γὰρ ἐν τῷ «das verbum» ὅτι παρὰ μὲν Ὁμήρῳ ταῦτα ἄγνωστά ἐστι, παρὰ δὲ Ἡσιόδῳ μόνον τὸ φατειὸς ἐν τρισὶ χωρίοις καὶ ὅτι ἡ γνωστὴ ἰσχυρὰ χρῆσις τούτων πρῶτον ἀφ' Ἡροδότου ἄρχεται, καὶ παρ' Αἰσχύλῳ μόνον ἓν παράδειγμα (Χοηφ. 298 ἐργαστέον) ἐν ταῖς συλλογαῖς αὐτοῦ εὑρίσκεται, πλείονα δὲ παρὰ Σοφοκλεῖ καὶ Εὐριπίδῃ, καὶ ὅτι παρὰ Πλάτωνι, Ξενοφῶντι καὶ Ἀριστοφάνει συνήθη εἰσίν. Ἐν τῷ αὐτῷ συγγράμματι ἀναφέρεται καὶ πραγματεία περὶ τῶν ῥηματικῶν ἐπιθέτων τοῦ Moiszistzig, ὡς καὶ τὰ τὸ 1868 Particula Verbaladjectiva auf *τέος*, ἅ οὐδαμόθεν πορίσασθαί μοι οἷόν τε ἦν. Ἐν δὲ τῷ δευτέρῳ φέρεται «non ita multa apud lyricos vates et Aeschylum, perpauca apud Herodotum, nec plura apud Thuçydidem, apud posteriones innumerabilia fere. (περὶ οὗ ἰδὲ Curtius das Verbum Cap. XX zweiter band Leipzig 1876). Κατὰ τὴν ἐμὴν γνώμην ταῦτα πάντα τυχαίως ἐρρέθησαν, ἐπεί τινα τούτων ὀρθά, τινὰ δ' οὔ· περὶ ὧν ἰδὲ τοὺς πίνακας Β', Α. Γ', Α. Β. Γ. Δ. ὅποι ἀκριβῶς ἡ χρῆσις τούτων ἐξετάζεται.

ΚΕΦ'. Ε.

ΠΕΡΙ ΙΣΟΔΥΝΑΜΩΝ

Πολλάκις τὸ *τέον* καὶ χρὴ σὺν τῷ τοῦ *τέον* ἀπαρεμφάτῳ οὐδὲν ἀλλήλων διαφέρουσιν, ἀλλὰ ποικιλίας ἕνεκα οἱ συγγραφῆς ὁτὲ μὲν χρῶνται αὐτοῖς, ὁτὲ δὲ ἐκείνοις οἷον «Ῥᾴδιον μὲν οὖν οὐδαμῶς διορίσαι τούτων θάτερον, ὅμως δὲ *χρὴ* τὸν νόμον ἀμῶς γέ πως ὁρίζειν *πειρᾶσθαι* κατὰ μέρη. Πλάτ. Νομ. ΙΒ, 2, 944. ὅποι κάτωθεν φέρεται «ῥᾴδιον μὲν οὐδαμῶς εὑρεῖν τῶν ἀρχόντων ἄρχοντα ὑπερβάλλοντα πρὸς ἀρετήν, ὅμως δὲ *πειρατέον* εὐθυντάς τινας ἀνευρίσκειν θείους. Πλάτ. Νομ. ΙΒ, 3, 945, C. Πότερ' οὐδένα *χρὴ* φόνον ὅσιον εἶναι *νομίζειν* ἤ τινὰ γ' ἔσθ' ὅσιον *νομιστέον*, Δημ. 23, 74. (περὶ τοῦ πότερον—ἤ ἰδὲ 2, 176, 2. 234, 32. 271, 2. κτλ.). Ἦ εἰ μὲν τὸ σῶμα *ἐπιτρέπειν* σε ἔδει τῳ, διακινδυνεύοντα ἢ χρηστὸν αὐτὸ γενέσθαι ἢ πονηρόν, πολλὰ ἂν περιεσκέψω, εἴτ' *ἐπιτρεπτέον* εἴτε οὔ, καὶ εἰς συμβουλὴν τούς τε φίλους ἂν παρεκάλεις καὶ τοὺς οἰκείους, σκοπούμενος ἡμέρας συχνάς· ὃ δὲ περὶ πλείονος τοῦ σώματος ἡγεῖ, τὴν ψυχήν, καὶ ἐν ᾧ πάντ' ἐστὶ τὰ σὰ ἢ εὖ ἢ κακῶς πράττειν, χρηστοῦ ἢ πονηροῦ αὐτοῦ γενομένου, περὶ δὲ τούτου οὔτε τῷ πατρὶ οὔτε τῷ ἀδελφῷ ἐπεκοινώσω οὔτε ἡμῶν τῶν ἑταίρων οὐδενί, εἴτ' *ἐπιτρεπτέον* εἴτε καὶ οὐ τῷ ἀφικομένῳ τούτῳ ξένῳ τὴν σὴν ψυχήν, ἀλλ' ἑσπέρας ἀκούσας, ὡς φῄς, ὄρθριος ἥκων περὶ μὲν τούτου οὐδένα λόγον οὐδὲ συμβουλὴν ποιεῖ, εἴτε *χρὴ ἐπιτρέπειν* σαυτὸν αὐτῷ εἴτε μή, Πλάτ. Πρωτ. 5, 313+6. κτλ.

2. Κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τὸ *δεῖ* σὺν τῷ τοῦ *τέον* ἀπαρεμφάτῳ οἷον Σω. Ἦ οὖν τούτων τῶν σιτίων πλέον ἡμῶν ἑκτέον αὐτῷ, ὅτι βελτίων ἐστίν, ἢ τῷ μὲν ἄρχειν πάντα ἐκεῖνον *δεῖ νέμειν*, ἐν δὲ τῷ ἀναλίσκειν τε αὐτὰ καὶ καταχρῆσθαι εἰς τὸ ἑαυτοῦ σῶμα οὐ *πλεονεκτητέον*, εἰ μέλλει ζημιοῦσθαι, ἀλλὰ τῶν μὲν πλέον, τῶν δ' ἔλαττον *ἑκτέον*· Πλάτ. Γοργ. 45, 490, C. ὅποι κάτωθεν φέρεται Σω. Ἀλλ' εἰ μὴ τὰ τοιαῦτα λέγεις, ἴσως τὰ τοιάδε· οἷον γεωργικὸν ἄνδρα περὶ γῆν φρόνιμόν τε καὶ καλὸν καὶ ἀγα-

θόν, τοῦτον δὴ ἴσως *δεῖ πλεονεκτεῖν* τῶν σπερμάτων καὶ ὡς πλείστῳ σπέρματι χρῆσθαι εἰς τὴν αὑτοῦ γῆν. 45, 490, Ε. Καὶ τῶν μὲν ἀγαθῶν οὐδένα ἄλλον *αἰτιατέον*, τῶν δὲ κακῶν ἄλλ' ἄττα δεῖ ζητεῖν τὰ αἴτια, ἀλλὰ οὐ τὸν θεόν. Πλάτ. Πολ. ϐ'. 18, 379, C. Εἰ μὲν τοίνυν ἐκείνων κατηγορεῖν βούλεταί τις ἐν τῷ παρόντι, *δεῖ λέγειν* ταῦτα, εἰδ' ὑπὲρ ὧν ἐγὼ τούτου κατηγόρηκα ἀπολογεῖσθαι, πάντα μᾶλλον ἢ ταῦτα *λεκτέον*. Δημ. 21, 40. κτλ.

3. Ὡσαύτως καὶ ἡ τοῦ ἐνεστῶτος ὑποτακτικὴ οἷον Σω. ὦ Πρώταρχε, πειρῶ δὲ αὐτὸ τοῦτο τριχῇ *τέμνειν*. Πλάτ. Φιλ. 29, 48, D. κάτωθεν δὲ Σω. Τοῦτο τοίνυν ἔτι *διαιρετέον*, ὦ Πρώταρχε δίχα, εἰ μέλλομεν τὸν παιδικὸν ἰδόντες φθόνον ἄτοπον ἡδονῆς καὶ λύπης ὄψεσθαι μῖξιν. Φιλ. 29, 49. πότερον μία ἑκατέρα *λεκτέον* ἢ δύο *τιθῶμεν*; 34, 57. ἰδὲ καὶ 9, 20, κτλ.

4. Προσέτι δὲ καὶ ἡ τοῦ ἀορίστου ὑποτακτικὴ οἷον καὶ τοῦτον μὲν *μεθετέον*, τὰ δὲ γεγονότα νῦν τῷ λόγῳ γένη *διανείμωμεν* εἰς πῦρ καὶ γῆν καὶ ὕδωρ καὶ ἀέρα. Πλάτ. Τίμ. 21, 55, D. ἰδὲ καὶ Νομ. Β, 2, 654+2, κτλ.

5. Ἔτι δὲ καὶ ὁ τῆς ὁριστικῆς μέλλων οἷον Σω. Ἂν δέ γε ἁμαρτανόμενον τὸ δοξαζόμενον ᾖ, τὴν δόξαν τότε ἁμαρτάνουσάν γε οὐκ ὀρθὴν *ὁμολογητέον* οὐδ' ὀρθῶς δοξάζουσαν;

Πρω. Πῶς γὰρ ἄν;

Σω. Τί δ', ἂν αὖ λύπην ἤ τινα ἡδονὴν περὶ τὸ ἐφ' ᾧ λυπεῖται ἢ τοὐναντίον ἁμαρτάνουσαν ἐφορῶμεν, ὀρθὴν ἢ χρηστὴν ἤ τι τῶν καλῶν ὀνομάτων αὐτῇ *προσθήσομεν*; Πλάτ, Φιλ. 22, 37, Ε. ἰδὲ καὶ 24, 41. κλχ.

Τί δ'; ἦν δ' ἐγώ· χαλκεύοντας ἤ τι ἄλλο δημιουργοῦντας, ἢ ἐλαύνοντας τριήρεις ἢ κελεύοντας τούτοις, ἤ τι ἄλλο τῶν περὶ ταῦτα *μιμητέον*; Καὶ πῶς, ἔφη, οἷς γε οὐδὲ προσέχειν τὸν νοῦν τούτων οὐδενὶ ἐξέσθαι; Τί δέ, ἵππους χρεματίζοντας καὶ ταύρους μυκωμένους καὶ ποταμοὺς ψοφοῦντας καὶ θάλατταν κτυποῦσαν καὶ βροντὰς καὶ πάντα αὖ τὰ τοιαῦτα ἢ *μιμήσονται*; Πλάτ. Πολ. 8, 396+ϐ. κτλ.

6. Καὶ ἡ εὐκτικὴ μετὰ τοῦ ἂν οἷον Πρω. Οὐκοῦν *ἰτέον* ἐπὶ τὰς τούτων ξυγγενεῖς, Πλάτ. Φιλ. 28, 46, ϐ. κάτωθεν δὲ λέγεται Σω. Κατὰ φύσιν τοίνυν μετὰ τὰς μιχθείσας ἡδονὰς ὑπὸ δή τινος ἀνάγκης ἐπὶ τὰς ἀμίκτους *πορευοίμεθ' ἂν* ἐν τῷ μέρει. 31, 50, Ε.

Σω. Πάνυ μὲν οὖν. ἀλλ', ὦ Πρώταρχε, ἆρ' οὐ διττὰς αὖ καὶ ταύτας *λεκτέον*; ἢ πῶς;

Πρω. Ποίας δὴ λέγεις;

Σω. Ἀριθμητικὴν πρῶτον ἆρ' οὐκ ἄλλην μέν τινα τὴν τῶν πολλῶν *φατέον*, ἄλλην δ' αὖ τὴν τῶν φιλοσοφούντων;

Πρω. Πῇ ποτε διορισάμενος οὖν ἄλλην, τὴν δὲ ἄλλην *θείη τις ἂν* ἀριθμητικήν; Πλάτ. Φιλ. 34, 56, D.

Εἰ ταύτην μάλιστα ἐκ τῶν εἰκότων ἐκτῆσθαι *φαῖμεν ἂν* ἤ τινα ἑτέραν ταύτης κυριωτέραν ἡμῖν *ζητητέον*. 35, 58, Ε. κτλ.

7. Καὶ ἡ προστακτικὴ οἷον Κλ. Ἄρισθ' ὑπέλαβές τε καὶ οὕτω δὴ *ποίει*.

Ἀθ. *Ποιητέον*· Πλάτ. Νομ. Β, 13, 673, C. ἰδὲ δὲ καὶ 2, 319, 48. Ὃ δὴ καὶ σοὶ *ποιητέον*, ὦ Κλεινία, πρῶτον τρεπτέον ἐπὶ τὰ τοιαῦτα μέλλοντί γε κατοικίζειν χώραν.

Κλ. Ἀλλ', ὦ ξένε Ἀθηναῖε, λέγεις τε παγκάλως ἐμοί τε οὕτω *ποιητέον*. Πλάτ. Νομ. Ε, 16 747, Ε. [2]

'Αλλ ὅτι μὲν τοῦτο *σκεπτέον* εἰ ἀληθῆ λέγεις, δῆλον. ἐπειδὴ γὰρ ξυμφέρον γέ τι εἶναι καὶ ὁμολογῶ τὸ δίκαιον, σὺ δὲ προστίθης καὶ αὐτὸ φῂς εἶναι τὸ τοῦ κρείττονος, ἐγὼ δὲ ἀγνοῶ, *σκεπτέον δή*· Σκόπει, ἔφη. Πλάτ. Πολ. Α, 12, 239, 6. [2] ἰδὲ καὶ 2, 353, 57, κτλ.

8. Καὶ ἡ ἀπαρέμφατος οἷον Σω. Λεκτέον ἂν εἴη. Χαλεπὸν μὲν οὖν πρὸς ἄνδρα οὐχ ἥττονα ἐραστῶν προσφέρεσθαι ἐραστῇ, ὅμως δὲ *τολμητέον* φράσαι τὴν ἐμὴν διάνοιαν. Πλάτ. 'Αλκ6. 2, 104, Ε. Ετ. 'Αλλ' οὐκ ἀνοήτους λέγω, ἀλλὰ πανούργους καὶ πονηροὺς καὶ ἥττους τοῦ κέρδους, γιγνώσκοντας ὅτι οὐδενὸς ἄξιά ἐστιν ἀφ' ὧν τολμῶσι κερδαίνειν, ὅμως τολμᾶν φιλοκερδεῖν δι' ἀναισχυντίαν. Πλάτ. 'Ιππαρχ. 225, 6'. ἰδὲ καὶ 'Αλκ6. 13, 118, 6.

Καὶ τῶν μὲν τοιούτων οὐ τὴν εὕρεσιν ἀλλὰ τὴν διάθεσιν *ἐπαινετέον*, τῶν δὲ μὴ ἀναγκαίων τε καὶ χαλεπῶν εὑρεῖν πρὸς τῇ διαθέσει καὶ τὴν εὕρεσιν. Πλάτ. Φδρ. 11, 236. κτλ.

9. Προσέτι καὶ τὰ ἀνάγκη, ἀναγκαῖον, δίκαιον, προσῆκον, προσήκει, εἰκός, πρέπον, χρεὼν καὶ τὰ τούτοις ὅμοια σὺν τῷ τοῦ *τέον* ἀπαρεμφάτῳ οἷον Σω. Οὐκοῦν ἢ κακεῖνα *λυτέον* ἢ τάδε *ἀνάγκη συμβαίνειν*; Πλάτ. Γοργ. 36, 480, Ε. Πολεμικῷ μὲν γὰρ διὰ τὰς τάξεις *ἀναγκαῖον μαθεῖν* ταῦτα, φιλοσόφῳ δὲ διὰ τὸ τῆς οὐσίας *ἁπτέον* εἶναι γενέσεως ἐξαναδύντι, ἢ μηδέποτε λογιστικῷ γενέσθαι. Πλάτ. Πολ. Ζ, 8, 525, 6.

Εἰ γὰρ ὀρθῶς ἐλέγομεν ἄρτι καὶ τῷ ὄντι θεοῖσι μὲν ἄχρηστον ψεῦδος, ἀνθρώποις δὲ χρήσιμον ὡς ἐν φαρμάκου εἴδει, δῆλον ὅτι τό γε τοιοῦτον ἰατροῖς *δοτέον*, ἰδιώταις δὲ οὐχ *ἁπτέον*. Δῆλον ἔφη, Τοῖς ἄρχουσι δὴ τῆς πόλεως εἴπερ τισὶν ἄλλοις *προσήκει ψεύδεσθαι* ἢ πολεμίων ἢ πολιτῶν ἕνεκα ἐπ' ὠφελείᾳ τῆς πόλεως· τοῖς δὲ ἄλλοις πᾶσιν οὐχ ἁπτέον τοῦ τοιούτου, . . . Πλάτ. Πολ. Γ, 3, 389 Β—D.

Τὸ δὲ τούτων ἀντίστροφον αὖ, τὸ περὶ τὰς τῶν σωμάτων καὶ διανοήσεων θεραπείας αἷς αἰτίαις σώζεται, πάλιν *εἰκὸς* καὶ *πρέπον ἀνταποδοῦναι*. Πλάτ. Τίμ. 42, 87, C. ἰδὲ καὶ 41, 87—42. κτλ.

10. Προσέτι δὲ *τέον* καὶ *τέος* οὐδὲν ἀλλήλων διαφέρουσιν, ἀλλὰ χρῶνται συνήθως μὲν τοῖς *τέον* σπανιώτερον δὲ τοῖς *τέος*, ἐπεὶ ἥδοντο μᾶλλον αὐτοῖς ἢ ἐκείνοις οἷον οὕτω καὶ ὁ ἄδικος ἐπιχειρῶν ὀρθῶς τοῖς ἀδικήμασι λανθανέτω, εἰ μέλλει σφόδρα ἄδικος εἶναι· τὸν ἁλισκόμενον δὲ φαῦλον *ἡγητέον*· ἐσχάτη δὲ ἀδικία δοκεῖν δίκαιον εἶναι μὴ ὄντα· *δοτέον* οὖν τῷ τελέως ἀδίκῳ τὴν τελεωτάτην ἀδικίαν, καὶ οὐκ *ἀφαιρετέον*, ἀλλ' *ἐατέον* τὰ μέγιστα ἀδικοῦντα τὴν μεγίστην δόξαν αὑτῷ παρεσκευακέναι εἰς δικαιοσύνην, καὶ ἐὰν ἄρα σφάλληταί τι, ἐπανορθοῦσθαι δυνατῷ εἶναι, λέγειν τε ἱκανῷ ὄντι πρὸς τὸ πείθειν, ἐάν τι μηνύηται τῶν ἀδικημάτων, καὶ βιάσασθαι ὅσα ἂν βίας δέηται, διά τε ἀνδρείαν καὶ ῥώμην καὶ διὰ παρασκευὴν φίλων καὶ οὐσίας. τοῦτον δὲ τοιοῦτον θέντες τὸν δίκαιον παρ' αὐτὸν ἱστῶμεν τῷ λόγῳ, ἄνδρα ἁπλοῦν καὶ γενναῖον, κατ' Αἰσχύλον οὐ δοκεῖν ἀλλ' εἶναι ἀγαθὸν ἐθέλοντα. *ἀφαιρετέον* δὴ τὸ δοκεῖν. εἰ γὰρ δόξει δίκαιος εἶναι, ἔσονται αὐτῷ τιμαὶ καὶ δωρεαὶ δοκοῦντι τοιούτῳ εἶναι· ἄδηλον οὖν, εἴτε τοῦ δικαίου εἴτε τῶν δωρεῶν τε καὶ τιμῶν ἕνεκα τοιοῦτος εἴη. *γυμνωτέος* δὴ πάντων πλὴν δικαιοσύνης, καὶ *ποιητέος* ἐναντίως διακείμενος τῷ προτέρῳ. Πλάτ. Πολ. Β, 4, 361—D. κτλ.

11. Καὶ *τέον* καὶ *τέα* οἷον 'Αθ. Οὐκοῦν ἂν μὲν δείξωμεν οὕτω ταῦτ' ἐχον-

τα, *μαθητέα* μέχρι γε τούτου τὰ τοιαῦτα πάντα, μὴ δειχθέντων δὲ *ἐατέον*; καὶ ταῦτα ἡμῖν οὕτω ξυγκείσθω; Πλάτ, Νομ. Ζ, 22, 822, C. κτλ.

12. Πολὺ λεπτὴ ἐστιν ἡ διαφορὰ τῶν *τέος, τέα, τέον* καὶ *τός. τή, τόν* οἷον πότερον ὅλον ἐστι τὸ γένος *ἀσπαστόν*, ἢ τοῦτο μὲν ἑτέρῳ τῶν προειρημένων δοτέον ἡμῖν γενῶν, ἡδονῇ δὲ καὶ λύπῃ, καθάπερ θερμῷ καὶ ψυχρῷ καὶ πᾶσι τοῖς τοιούτοις, τοτὲ μὲν *ἀσπαστέον* αὐτά, τοτὲ δὲ οὐκ ἀσπαστέον, ὡς ἀγαθὰ μὲν οὐκ ὄντα, ἐνίοτε δὲ καὶ ἔνια δεχόμενα τὴν τῶν ἀγαθῶν ἔστιν ὅτε φύσιν. Πλάτ. Φίλ. 18, 32, D.

Εἰ δέ μοι ἐφαίνετο *γραπτέα* θ' ἱκανῶς εἶναι πρὸς τοὺς πολλοὺς καὶ *ῥητά*, τί τούτου κάλλιον ἐπέπρακτ' ἂν ἡμῖν ἐν τῷ βίῳ, ἢ τοῖς τε ἀνθρώποισι μέγα ὄφελος γράψαι καὶ τὴν φύσιν εἰς φῶς πᾶσι προαγαγεῖν; Πλάτ. Ἐπιστλ. Ζ, 341, D. κτλ.

Σημ. ά. Ἰδὲ καὶ Κφ. ϛ'. σημ. β'.

Σημ. β'. Τὰ *τέος, τέα, τέον*, ἔχουσι τὴν τοῦ δεῖ, χρὴ κτλ. δύναμιν μείζω ἢ τὰ τός.....

ΚΕΦ. ΣΤ'.

ΔΙΑΦΟΡΑ

Τὰ ῥηματικὰ ταῦτα ἐπίθετα ἀναλύονται ὁτὲ μὲν τοῖς δεῖ, χρή, ἀνάγκη κτλ. (περὶ ὧν ζήτει Κφ. Ε'.) καὶ ἀπαρεμφάτῳ παθητικῷ, ὁτὲ δὲ ἐκείνοις καὶ ἀπαρεμφάτῳ ἐνεργητικῷ· τοῦτο μαρτυροῦσιν οἱ συγγραφῆς Πλάτ. Νομ. ιΒ, 2, 944 καὶ 3, 945, C. ὅποι φέρεται χρὴ πειρᾶσθαι, καὶ πειρατέον, καὶ Δημοσθ. 21, 40. δεῖ λέγειν ταῦτα, καὶ ταῦτα λεκτέον, περὶ ὧν ἰδὲ 2, 304, 29. καὶ 2, 234, 70. κτλ.

Τὰ δὲ χρηστέον=δεῖ χρῆσθαι· 2, 67, ἀγωνιστέον, ἰσχυριστέον, ἐργαστέον κτλ. ἀεὶ παθητικῷ ἀπαρεμφάτῳ ἀναλύονται.

Σημ. ά. Περὶ τῆς ποικίλης συντάξεως τῶν ῥηματικῶν τούτων ἐπιθέτων οὐδένα λόγον ἐνταῦθα ποιούμεθα, ὡς δῆλον τοῦτο γενήσεται ἐκ τοῦ τῶν φράσεων πίνακος ἀλφαβητικοῦ ὄντος.

Σημ. β'. Τινὰ δὲ τούτων ἔχουσι καὶ τὸ ἄρθρον, οὗ ἕνεκα πολὺ λεπτὴ δείκνυται τοῦ τος..καὶ τέος διαφορὰ οἷον τὸ δραστέον 2,122,6. τὸ ποιητέον 2,319, 62. τὸ πρακτέον 2, 325, 10. καὶ 20. καὶ τὰ ποιητέα 10, 43, 4. καὶ 11.

Σημ. γ'. Πολλάκις δύο προτάσεων οὐσῶν φέρονται ἢ ἀμφότεραι εἰς τὰ ῥηματικὰ ταῦτα ἐπίθετα 2, 74. 125, 12. κτλ. ἢ ἡ μὲν πρώτη εἰς ἐπίθετον 2, 353, 28, 29. κτλ. ἡ δὲ δευτέρα εἰς καταφατικὴν ἢ ἀποφατικὴν λέξιν ἢ ὁλόκληρον πρότασιν· καὶ δυνατὸν ταύτην τὴν δευτέραν πρότασιν φέρεσθαι εἴτε εἰς ὁριστικὴν μέλλοντος εἴτε εἰς ὑποτακτικὴν ἐνεστῶτος ἢ ἀορίστου, εἴτε εἰς προστακτικήν, εὐκτικὴν καὶ ἀπαρέμφατον, εἴτε εἰς τὰ δεῖ, χρὴ κτλ. (περὶ ὧν ἰδὲ Κφ. Ε'.) σὺν τῷ τοῦ τέος.... ἀπαρεμφάτῳ 2, 13, 6. 353, 54. κτλ. ἢ κατ' ἀντίστροφον λόγον, ἡ μὲν πρώτη εἰς ὁριστικὴν μέλλοντος κ.τ.τ. ἡ δὲ δευτέρα εἰς ἐπίθετον 2, 52. 54. 98. 234, 57, 270, 4. 304, 25. 353, 35, 54. κτλ.

Σημ. δ'. Ὁ Σουΐδας ἐν τῇ λέξει πολεμητέα καλεῖ ταῦτα θετικὰ ἐπιρρήματα, ὅπερ ἐμὲ οὐ πείθει· καὶ δὴ λέγει «πολεμητέα εἶναι ἐν τάχει ἀντὶ τοῦ δεῖν πολεμεῖν· ἰστέον δὲ ὅτι τὰ τοιαῦτα θετικὰ ἐπιρρήματα ἔχουσιν ἐν αὑτοῖς ἢ τὸ χρὴ ἢ τὸ δεῖ, οἷον γαμητέον ἀντὶ τοῦ χρὴ γαμῆσαι, πλευστέον ἀντὶ τοῦ δεῖ πλεῦσαι, καὶ οὐ παραδοτέα (Θουκ. 1, 86) ἀντὶ τοῦ οὐ χρὴ παραδοῦναι». ἰδὲ καὶ ἐν τῇ λέξει φευκτέον.

Α΄.

ΠΙΝΑΞ ΤΩΝ ΦΡΑΣΕΩΝ

Ι

ΤΕΟΣ

1. Ἀλλ' «ἀνοιστέος» λόγος Εὐριπ. Ἀποσ. 962.

2. Πότερον «ἀφανιστέος» παντάπασίν ἐστιν ἢ διαδοτέος τοῖς βουλομένοις λαμβάνειν, ὁπότερα δ' ἂν ἐκεῖνος δόξῃ ταῦτα ποιεῖν. Ἰσοκρ. 12,233.

3. Οἶσθα γάρ, εἴπερ τις ἄλλος ἀνθρώπων, καὶ οὐκ «ἀφετέος» εἶ, ὥσπερ ὁ Πρωτεύς, πρὶν ἂν εἴπῃς. Πλάτ. Εὐθφ. 20, 15, D.

4. «Γυμνωτέος» δὴ πάντων πλὴν δικαιοσύνης, καὶ ποιητέος ἐναντίως διακείμενος τῷ προτέρῳ. Πλάτ. Πολ. Β, 4, 361, C.

5. Ποταμὸς δ' εἰ μέν τις καὶ ἄλλος ἄρα ἡμῖν ἐστι «διαβατέος» οὐκ οἶδα. Ξενοφ. ΚΑ, Β, 4, 6.

6. «Διαδοτέος» ἰδὲ 2.

7. «Διωκτέος» δέ· μὴ γὰρ ἐγχάνοι ποτὲ μηδέ περ γέροντας ὄντας ἐκφυγὼν Ἀχαρνέας. Ἀριστοφ. Ἀχ. 221.

8, 1. Λυτέος καὶ οὐκ «ἐατέος» ὁ τοιοῦτος νόμος κύριος νυνὶ γενέσθαι. Δημ. 24, 78.

2. Μισεῖ γὰρ ὁ θεὸς τὴν βίαν, τὰ κτητὰ δὲ κτᾶσθαι κελεύει πάντας οὐκ ἐς ἁρπαγάς. «ἐατέος» δ' ὁ πλοῦτος ἄδικός τις ὤν. Εὐριπ. Ἑλ. 905.

3. Ἆρ' οὖν τοῖς ποιηταῖς ἡμῖν μόνον ἐπιστατητέον καὶ προσαναγκαστέον τὴν τοῦ ἀγαθοῦ εἰκόνα ἤθους ἐμποιεῖν τοῖς ποιήμασιν ἢ μὴ παρ' ἡμῖν ποιεῖν, ἢ καὶ τοῖς ἄλλοις δημιουργοῖς ἐπιστατητέον καὶ διακωλυτέον τὸ κακόηθες τοῦτο καὶ ἀκόλαστον καὶ ἀνελεύθερον καὶ ἄσχημον μήτε ἐν εἰκόσι ζώων μήτε ἐν οἰκοδομήμασι μήτε ἐν ἄλλῳ μηδενὶ δημιουργουμένῳ ἐμποιεῖν, ἢ ὁ μὴ οἷός τε ὢν οὐκ «ἐατέος» παρ' ἡμῖν δημιουργεῖν, ἵνα μὴ ἐν κακίας εἰκόσι τρεφόμενοι ἡμῖν οἱ φύλακες ὥσπερ ἐν κακῇ βοτάνῃ, πολλὰ ἑκάστης ἡμέρας κατὰ σμικρὸν ἀπὸ πολλῶν δρεπόμενοί τε καὶ νεμόμενοι, ἕν τι ξυνιστάντες λανθάνωσι κακὸν μέγα ἐν τῇ αὑτῶν ψυχῇ· Πλάτ. Πολ. Γ, 12, 401, Β.

9. Πότερον «εἰσοιστέος» ἐστὶ νόμος καινὸς ἢ δοκοῦσιν ἀρκεῖν οἱ κείμενοι· Δημ. 24, 25.

10. Δικ. ὦ Ξανθία, σφῷν δ' ἐστὶν ὀρθὸς «ἑκτέος» ὁ φαλλὸς ἐξόπισθε τῆς κανηφόρου· Ἀριστοφ. Ἀχ, 259.

11. Γεωμετρίας γὰρ ἀμελεῖς. εἶεν· ἢ «ἐξελεγκτέος» δὴ οὗτος ὁ λόγος ἡμῖν ἐστίν, ὡς οὐ δικαιοσύνης καὶ σωφροσύνης κτήσει εὐδαίμονες οἱ εὐδαίμονες

κακίας δὲ οἱ ἄθλιοι **ἄθλιοι**, ἢ εἰ οὗτος ἀληθής ἐστι, σκεπτέον τί τὰ συμβαίνοντα. Πλάτ. Γοργ. 63, 508.

12. Σω. οὐ μαλθακιστέ', ἀλλὰ περικαλυπτέα. «ἐξευρετέος» γὰρ νοῦς ἀποστερητικὸς κἀπαιόλημ'. Ἀριστοφ. Νεφ. 728.

13, 1. Ἐγὼδ', ἐπίσταμαι γὰρ ἀρτίως ὅτι ὅ τ' ἐχθρός ἡμῖν ἐς τοσόνδ' «ἐχθαρτέος», ὡς καὶ φιλήσων αὖθις, Σοφ. Αἴας 679.

2. Κρ. Εἴπερ γε πόλεως ἐχθρὸς ἦν, «ἐχθαρτέος». Εὐριπ. Φοιν. 1652.

14. Τί οὖν; ἔφη, ὃν ἂν ἡμῖν τε δοκῇ καὶ οἱ θεοὶ μὴ ἐναντιῶνται, ἔχεις εἰπεῖν ὅπως οὗτος «θηρατέος»; Ξενοφ. Ἀπ. Β, 6, 8.

15. Πρίν τι ὧν μέζον ἐξεργάσασθαί μιν Πέρσας κακόν, «καταλαμπτέος» ἐστὶ ἡμῖν θανάτῳ. Ἡροδ. 3, 127.

16. Ἀθ. Πρῶτον μὲν δή που «καταλεκτέος» ἂν εἴη κατάλογος τῶν ὅσοι ἐπιτήδειοι πρὸς τὴν τῆς φυλακῆς φύσιν ἂν εἶεν ἡλικίας τε καὶ μαθημάτων δυνάμεσι καὶ τρόπων ἤθεσι καὶ ἔθεσι· Πλάτ. Νομ. ιϐ, 14, 968, C.

17. Καί μοι ἔδοξεν ἤδη ἐνταῦθα «κινητέος» εἶναι ὁ φιλογυμναστής, ἵνα μοι βοηθήσῃ διὰ τὴν ἐμπειρίαν τῆς γυμναστικῆς· Πλάτ. Ἀντρ. 2, 134.

18, 1. Ἐὰν βοὸς ἔκγονον φύσει ἵππος παρὰ φύσιν τέκῃ μόσχον, οὐ πῶλον κλητέον ἀλλὰ μόσχον· οὐδ' ἂν ἐξ ἀνθρώπου, οἶμαι, μὴ τὸ ἀνθρώπου ἔκγονον γένηται, ἀλλ' ἐὰν τὸ ἔκγονον, ἄνθρωπος «κλητέος»· Πλάτ. Κρατ. 13, 393, C.

2. Κατὰ γὰρ τὸν αὐτὸν λόγον κἂν ἐκ βασιλέως γίγνηταί τι ἔκγονον, βασιλεὺς «κλητέος»· Πλάτ. Κρατ. 13, 393, C.

3. Οὐδέν, οἶμαι, τοῦτο ὑπολογιστέον, ὅτι πλεῖ ἐν τῇ νηΐ, οὐδ' ἐστὶ «κλητέος» ναύτης· Πλάτ. Πολ. Α, 15, 341, D.

19. Ἐὰν δέ τις κατά τι κακὸς γίγνηται, «κολαστέος» ἐστί, καὶ τοῦτο δεύτερον ἀγαθὸν μετὰ τὸ εἶναι δίκαιον, τὸ γίγνεσθαι καὶ κολαζόμενον διδόναι δίκην· Πλάτ. Γοργ. 83, 527, Β.

20. Ἐν παντὶ πράγει δ' ἔσθ' ὁμιλίας κακῆς κάκιον οὐδὲν (καρπὸς οὐ «κομιστέος». ἄτης ἄρουρα θάνατον ἐκκαρπίζεται·) Αἰσχύλ. ἑπτὰ ἐπὶ Θήϐ. 600.

21, 1. Ὃν δὲ μέλλω λέγειν, Στησιχόρου τοῦ Εὐφήμου, Ἱμεραίου· «λεκτέος» δὲ ὧδε, ὅτι.....Πλάτ. Φδρ. 22, 244.

2. Ἔστι γάρ τις λόγος ἀληθὴς ἐναντίος τῷ τολμήσαντι γράφειν τῶν τοιούτων καὶ ὁτιοῦν, πολλάκις μὲν ὑπ' ἐμοῦ καὶ πρόσθεν ῥηθείς, ἔοικε δ' οὖν εἶναι καὶ νῦν «λεκτέος». Πλατ. Ἐπιστλ. Ζ, 342.

22. «Λυτέος» ἰδὲ 8.

23. Ξαν. φήμ' ἐγώ. καὶ πολύ γε μᾶλλόν ἐστι «μαστιγωτέος»· εἴπερ θεὸς γάρ ἐστιν, οὐκ αἰσθήσεται. Ἀριστοφ. Βατρ. 663.

24. Καὶ μὴν ὅτι γε οὐ βιάζεται, ἀλλὰ πείθει, διὰ τοῦτο μᾶλλον «μισητέος». ὁ μὲν γὰρ βιαζόμενος ἑαυτὸν πονηρὸν ἀποδεικνύει, ὁ δὲ πείθων τὴν τοῦ ἀναπειθομένου ψυχὴν διαφθείρει. Ξενοφ. Συμπ. 8, 20.

25, 1. Ἀλλὰ θεομαχεῖν μόνον οἷός τ' ἐκεῖνος· «νουθετητέος», πάτερ σούστίν. Εὐριπ. Βακχ. 1256.

2. Ἀλλὰ χρυσέαις πρόχοισιν ἐλθὼν εἰς ἀπορραντήρια δρόσον καθήσω· «νουθετητέος» δέ μοι Φοῖϐος, τί πάσχει· Εὐριπ. Ἴων 436.

26. «Ποιητέος» ἰδὲ 4.

27. Καὶ ἄλλα δὲ πάμπολλα ἄν τις λέγοι, ἐν οἷς τοῖς νοῦν τε καὶ νόμον ἔχουσιν ὀρθὸν οὐ «ποτέος» οἶνος· Πλάτ. Νομ. Β, 14, 674, Β.

28. Ὀδ. ἅλις κόρης εἷς θάνατος, οὐ «προσοιστέος» ἄλλος πρὸς ἄλλῳ· μηδὲ τόνδε ὠφείλομεν. Εὐριπ. Ἑκάβ. 394.

29. Ἀθ. Ἆρ' οὖν οὐ μετὰ τὸν γραμματιστὴν ὁ κιθαριστὴς ἡμῖν «προσρητέος»; Πλάτ. Νομ. Ζ, 16, 812, Β.

30. Καὶ γὰρ δὴ τί πλοῦτος ἐκεῖ γε «σπουδαστέος» ἔνθα ἴσα μὲν φέρειν εἰς τὰ ἐπιτήδεια, ὁμοίως δὲ διαιτάσθαι τάξας, ἐποίησε μὴ ἡδυπαθείας ἕνεκα χρημάτων ὀρέγεσθαι ; Ξενοφ. Λακ. Π. 7, 3.

31. Πρ. ἄλλου λόγου μέμνησθε, τόνδε δ' οὐδαμῶς καιρὸς γεγωνεῖν, ἀλλὰ «συγκαλυπτέος» ὅσον μάλιστα· τόνδε γὰρ σώζων ἐγὼ δεσμοὺς ἀεικεῖς καὶ δύας ἐκφυγγάνω. Αἰσχύλ. Προμ. 523.

32, 1. Με. Πέφυκεν· εἰ δὲ δυστυχεῖ, «τιμητέος». Εὐριπ. Ὀρέσ. 484.

2. Ἀλλ' οὐ γὰρ πρό γε τῆς ἀληθείας «τιμητέος» ἀνήρ, ἀλλ', ὃ λέγω, ῥητέον. Πλάτ. Νομ. Ι, 1, 595, C.

33. Πᾶσιν ὑπὲρ ἁπάντων ἐστὶ «τιμωρητέος» ὡς κοινὸς ἐχθρὸς τῇ πολιτείᾳ. Δημ. 21, 142.

34. Ἐν μέσσῳ δὲ δράκοντος ἔην φόβος οὔ τι «φατειός», ἔμπαλιν ὄσσοισιν πυρὶ λαμπομένοισι δεδορκώς· Ἡσιόδ. Ἀσπ. 144.

II

ΤΕΟΝ

1. Ἐγὼ μὲν οἶμαι, ἦν δ' ἐγώ, ἐν τῷ καλλίστῳ, ὃ καὶ δι' αὐτὸ καὶ διὰ τὰ γιγνόμενα ἀπ' αὐτοῦ «ἀγαπητέον» τῷ μέλλοντι μακαρίῳ ἔσεσθαι. Πλάτ. Πολ. Β, 1, 358.

2. Ἰφ. «ἁγνιστέον» μοι καὶ τὸ τῆς θεοῦ βρέτας. Εὐριπ. Ἰφ. Τ. 1199.

3, 1. Ἀλλά τοι, ἔφη, ὦ παῖ, ἔνιά ἐστιν ἃ οὐ πρὸς ἀνθρώπους «ἀγωνιστέον» ἀλλὰ πρὸς αὐτὰ τὰ πράγματα, ὧν οὐ ῥᾴδιον εὐπόρως περιγενέσθαι. Ξενοφ. ΚΠ, Α, 6, 9.

2. «Ἀγωνιστέον» μὲν ἄρα ἡμῖν πρὸς τοὺς ἄνδρας. Ξενοφ. ΚΠ, Β, 1, 4.

3. Ἐπεὶ δ' οὖν αὕτη, ἔφη, ἡ μάχη καταλείπεται, ἐν ᾗ προθυμίας μᾶλλον ἢ τέχνης ἔργον ἐστί, πῶς ἡμῖν οὐχ ἡδέως πρὸς τούσδε τοὺς ὁμοτίμους «ἀγωνιστέον» ; Ξενοφ. ΚΠ, Β, 3, 11.

4. Ἡμῖν γ' ὑπὲρ τῆς ἐλευθερίας «ἀγωνιστέον»· Δημ. 9, 70.

4, 1. Οὐδενὶ τρόπῳ φαμὲν ἑκόντας «ἀδικητέον» εἶναι, ἢ τινὶ μὲν «ἀδικητέον» τρόπῳ, τινὶ δὲ οὔ ; Πλάτ. Κρίτ. 10, 49. [2]

2. Εἰ δ' οὖν πειστέον, «ἀδικητέον» καὶ θυτέον ἀπὸ τῶν ἀδικημάτων, δίκαιοι μὲν γὰρ ὄντες ἀζήμιοι ὑπὸ θεῶν ἐσόμεθα, τὰ δ' ἐξ ἀδικίας κέρδη ἀπωσόμεθα· Πλάτ. Πολ. Β, 8, 365, Ε.

5, 1. Καί μοι δοκοῦσιν οὐ κατὰ γνώμης φύσιν πράσσειν κάκιον, ἔστι γὰρ τό γ' εὖ φρονεῖν πολλοῖσιν, ἀλλὰ τῇδ' «ἀθρητέον» τόδε· Εὐριπ. Ἱππολ. 379.

2. Εἰ οὖν βούλει τούτῳ ἀρέσκειν, σκεπτέον μέν σοι ποῖα ἐπιστάμενος Θεμιστοκλῆς ἱκανὸς ἐγένετο τὴν Ἑλλάδα ἐλευθεροῦν, σκεπτέον δὲ ποῖά ποτε εἰδὼς Περικλῆς κράτιστος ἐδόκει τῇ πατρίδι σύμβουλος εἶναι, «ἀθρητέον» δὲ καὶ πῶς ποτε Σόλων φιλοσοφήσας νόμους κρατίστους τῇ πόλει κατέθη-

κεν, ἐρευνητέον δὲ καὶ ποῖα Λακεδαιμόνιοι ἀσκοῦντες κράτιστοι δοκοῦσιν ἡγεμόνες εἶναι· Ξενοφ. Συμπ. 8, 39.

3. Σω. Οὐδ' ἐμοὶ δοκεῖ· ἀλλὰ τῇδέ πῃ «ἀθρητέον». Πλάτ. Ἀλκϐ. Β, 3, 139, D.

6. Οὐδὲ μὴν τοῦ γε εἰς τοὺς συσκήνους ἕνεκα ἔχειν δαπανᾶν χρήματα «ἀθρηστέον», ἐπεὶ τὸ τῷ σώματι πονοῦντα ὠφελεῖν τοὺς συνόντας εὐδοξότερον ἐποίησεν ἢ τὸ δαπανῶντα, ἐπιδείξας τὸ μὲν ψυχῆς, τὸ δὲ πλούτου ἔργον. Ξενοφ. Λακ. Π. 7, 4.

7, 1. Εἰ δὲ μήθ' οἱ ποταμοὶ διήσουσιν ἡγεμών τε μηδεὶς ἡμῖν φανεῖται, οὐδ' ὥς ἡμῖν γε «ἀθυμητέον». Ξενοφ. ΚΑ, Γ, 2, 23.

2. Ἔπειτ' οὐκ «ἀθυμητέον» τοῖς γεγενημένοις· Δημ. προοιμ. 30.

8, 1. Σω. Ἆρ' οὐ περὶ φρονήσεως ἦν καὶ ἡδονῆς ἡμῖν ἐξ ἀρχῆς ὁ λόγος, ὁπότερον αὐτοῖν «αἱρετέον»; Πλάτ. Φιλ. 9, 18, Ε.

2. Σω. Οὐκοῦν τὰς μὲν χρηστὰς καὶ ἡδονὰς καὶ λύπας καὶ «αἱρετέον» ἐστὶ καὶ πρακτέον; Πλάτ. Γοργ. 54, 499, Ε.

3. Διὸ δὴ τὸ δεύτερον «αἱρετέον» τάξιν τε καὶ νόμον, ἃ δὴ τὸ μὲν ὡς ἐπὶ τὸ πολὺ ὁρᾷ καὶ βλέπει, τὸ δ' ἐπὶ πᾶν ἀδυνατεῖ. Πλάτ Νομ. Θ, 13, 875, D.

4. Νῦν δὲ τοῖς περὶ τὴν ἡμετέραν γένεσιν δημιουργοῖς ἀναλογιζομένοις, πότερον πολυχρονιώτερον χεῖρον ἢ βραχυχρονιώτερον βέλτιον ἀπεργάσαιντο γένος, συνέδοξε τοῦ πλείονος βίου, φαυλοτέρου δέ, τὸν ἐλάττονα ἀμείνονα ὄντα παντὶ πάντως «αἱρετέον»· Πλάτ. Τιμ. 33, 75, C.

5. Ἔτι δὲ εἰ μὲν μείζων τις κίνδυνος ἔμελλεν ἡμῖν εἶναι ἐκεῖ ἢ ἐνθάδε, ἴσως τὸ ἀσφαλέστατον ἦν «αἱρετέον». Ξενοφ. ΚΠ, Γ, 3, 17.

6. Ἐπειδὴ δὲ Ξενοφῶν ἦλθε σὺν τοῖν ὀπισθοφύλαξι καὶ πελτασταῖς καὶ ὁπλίταις, ἐνταῦθα δὴ λέγει Χειρίσοφος, Εἰς καλὸν ἥκετε· τὸ γὰρ χωρίον «αἱρετέον»· τῇ γὰρ στρατιᾷ οὐκ ἔστι τὰ ἐπιτήδεια, εἰ μὴ ληψόμεθα τὸ χωρίον. Ξενοφ. ΚΑ, 4, 7, 3.

7. Λακεδαιμονίοις δ' οὐχ οἷόν τ' ἐστὶν ἐκ παντὸς τρόπου ζητεῖν τὴν σωτηρίαν, ἀλλ' ἂν μὴ προσῇ τὸ καλῶς τῷ σώζεσθαι, τὸν θάνατον ἡμῖν μετ' εὐδοξίας «αἱρετέον» ἐστίν· τοῖς γὰρ ἀρετῆς ἀμφισϐητοῦσιν ὑπὲρ οὐδενὸς οὕτω σπουδαστέον, ὡς ὑπὲρ τοῦ μηδὲν αἰσχρὸν φανῆναι πράττοντας. Ἰσκ. 6, 91

9. Ἐννοήσατε δ', ἔφη, ὡς εἰ μηδ' ἐκείνους «αἰσχυντέον» ἦν, οὐδ' ὥς ἡμῖν νῦν προσήκει οὔτε πλησμονῆς πω οὔτε μέθης· Ξενοφ ΚΠ, Δ, 2, 40.

10. Ὧν ἕνεκα ἢ οὐκ ἐγχειρητέον ἄρχειν ἢ τοῦτο σὺν τῇ ἄλλῃ παρασκευῇ καὶ παρὰ θεῶν «αἰτητέον» δύνασθαι ποιεῖν καὶ αὐτῷ μηχανητέον. Ξενοφ. Ἱππρχ. 5, 11.

11, 1. Ἐν ἄλλοις δ', ἂν προϊὼν εἶπεν, ὦ ἄνδρες, τὸ ἀπὸ τοῦδε οὐδέν ποτε ἔτι θεοὺς «αἰτιατέον» ἔσται. Ξενοφ. ΚΠ, Ζ, 1, 11.

2. Καὶ τῶν μὲν ἀγαθῶν οὐδένα ἄλλον «αἰτιατέον», τῶν δὲ κακῶν ἄλλ' ἄττα δεῖ ζητεῖν τὰ αἴτια, ἀλλ' οὐ τὸν θεόν. Πλάτ. Πολ. Β, 18, 379, C.

3. Τοῦ δ' ἐν τοῖς εἴδεσιν αὐτῶν ἕτερα ἐμπεφυκέναι γένη τὴν ἑκατέρου τῶν στοιχείων «αἰτιατέον» σύστασιν, Πλάτ. Τιμ. 22, 57, C.

4. Ὧν «αἰτιατέον» μὲν τοὺς φυτεύοντας ἀεὶ τῶν φυτευομένων μᾶλλον καὶ τοὺς τρέφοντας τῶν τρεφομένων, προθυμητέον μήν, ὅπῃ τις δύναται, καὶ διὰ τροφῆς καὶ δι' ἐπιτηδευμάτων μαθημάτων τε φυγεῖν μὲν κακίαν, τοὐναντίον δὲ ἑλεῖν. Πλάτ. Τιμ. 41, 87, Β.

5. Ἢ οὖν πιστέον τούτων τῶν ἐθῶν ἢ μηδένα ἄλλον «αἰτιατέον» τοῦ πάντα φαύλως ἔχειν ἢ ὑμᾶς αὐτούς. Δημ. 10, 76.

12, 1. Ἀλλὰ μήν, ἦ δ' ὅς, ταῦτά γε λόγῳ «ἀκολουθητέον». Πλάτ. Πολ. Γ. 11, 400, D.

2. Ἀλλ' οἵ ἂν δύνωνται ἐμποιῆσαι τοῖς στρατιώταις «ἀκολουθητέον» εἶναι καὶ διὰ πυρὸς καὶ διὰ παντὸς κινδύνου. Ξενοφ. Οἰκ. 21, 7.

13, 1. Οἴμοι, πρὸς αὐτῷ γ' εἰμὶ τῷ δεινῷ λέγειν. κἄγωγ' ἀκούειν· ἀλλ' ὅμως «ἀκουστέον». Σοφ. Οἰδ. Τ, 1170.

2. Κλ. Τί τοῦτ' ἔλεξας; ὡς «ἀκουστέον» γέ σου Εὐριπ. Ἰφ. Α. 1010.

3. «Ἀκουστέον» ἂν εἴη καὶ σοῦ. Τί γὰρ σύ, ἔφη, ὦ Χαρμίδη, ἐπὶ τίνι μέγα φρονεῖς; Ξενοφ. Συμπ. 3, 9.

4. Τὰ μὲν δὴ περὶ θεούς, ἦν δ' ἐγώ, τοιαῦτ' ἄττα, ὡς ἔοικεν, «ἀκουστέον» τε καὶ οὐκ «ἀκουστέον» εὐθὺς ἐκ παίδων τοῖς θεούς τε τιμήσουσι καὶ γονέας τήν τε ἀλλήλων φιλίαν μὴ περὶ σμικροῦ ποιησομένοις. Πλάτ. Πολ. Γ. 1, 386.[2]

5. Ταῦτα καὶ τὰ τοιαῦτα παραιτησόμεθα Ὅμηρόν τε καὶ τοὺς ἄλλους ποιητὰς μὴ χαλεπαίνειν ἂν διαγράφωμεν, οὐχ ὡς οὐ ποιητικὰ καὶ ἡδέα τοῖς πολλοῖς ἀκούειν, ἀλλ' ὅσῳ ποιητικώτερα, τοσούτῳ ἧττον «ἀκουστέον» παισὶ καὶ ἀνδράσιν, οὓς δεῖ ἐλευθέρους εἶναι, δουλείαν θανάτου μᾶλλον πεφοβημένους. Πλάτ. Πολ. Γ, 1, 387, B.

6. Ἀλλ' εἴ πού τινες, ἦν δ' ἐγώ, καρτερίαι πρὸς ἅπαντα καὶ λέγονται καὶ πράττονται ὑπὸ ἐλλογίμων ἀνδρῶν, θεατέον τε καὶ «ἀκουστέον», οἷον καὶ τὸ

στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ·
τέτλαθι δή, κραδίη· καὶ κύντερον ἄλλο ποτ' ἔτλης.

Παντάπασι μὲν οὖν, ἔφη. Πλάτ. Πολ. Γ, 4, 390, D.

7. Ἀθ. Ταῦτα τοίνυν ἐγὼ μέν, ὦ Κλεινία, φημὶ τοὺς νέους δεῖν μανθάνειν· καὶ γὰρ οὔτε βλαβερὰ οὔτε χαλεπά ἐστι, μετὰ δὲ παιδιᾶς ἅμα μανθανόμενα ὠφελήσει μέν, βλάψει δὲ ἡμῖν τὴν πόλιν οὐδέν· εἰ δέ τις ἄλλως λέγει, «ἀκουστέον». Πλάτ. Νομ. Ζ, 21, 820, D.

8. Οἷς οὐκ «ἀκουστέον» ἂν ἐναντία τολμᾷ λέγειν. Δημ. 20, 130.

14. Πει. ἀλλ' ὅμως ἂν ἀπέθανες. δεινότατα γάρ τοι πεισόμεσθ', ἐμοὶ δοκεῖ, εἰ τῶν μὲν ἄλλων ἄρχομεν, ὑμεῖς δ' οἱ θεοὶ ἀκολασταίνετε, κοὐδέπω γνώσεσθ' ὅτι «ἀκροατέον» ὑμῖν ἐν μέρει τῶν κρειττόνων. Ἀριστ. Ὄρνιθ. 1228.

15, 1. Εἴπερ οὖν ἢ σαυτοῦ κήδει ἢ τῆς πατρίδος ἐπιθυμεῖς, «ἀκτέον» ἐπὶ τοὺς ἄνδρας. Ξενοφ. Ἑλ. 6, 4, 5.

2. Πῶς λέγεις; ἔφη. Ἐπὶ τοὺς ἵππους, ἦν δ' ἐγώ, ἀναβιβαστέον ὡς νεωτάτους, καὶ διδαξαμένους ἱππεύειν ἐφ' ἵππων «ἀκτέον» ἐπὶ τὴν θέαν, μὴ θυμοειδῶν μηδὲ μαχητικῶν, ἀλλ' ὅ,τι ποδωκεστάτων καὶ εὐηνιωτάτων. Πλάτ Πολ. Ε, 14, 467, Ε.

3. Οὐκοῦν μνημονεύεις, ἦν δ' ἐγώ, ὅτι καὶ εἰς τὸν πόλεμον ἔφαμεν τοὺς παῖδας εἶναι «ἀκτέον» ἐπὶ τῶν ἵππων θεωρούς, Πλάτ. Πολ. Ζ, 16, 537.

4. Γενομένων δὲ πεντηκοντουτῶν τοὺς διασωθέντας καὶ ἀριστεύσαντας πάντα πάντῃ ἐν ἔργοις τε καὶ ἐπιστήμαις πρὸς τέλος ἤδη «ἀκτέον», καὶ ἀναγκαστέον ἀνακλίναντας τὴν τῆς ψυχῆς αὐγὴν εἰς αὐτὸ ἀποβλέψαι τὸ πᾶσι φῶς παρέχον, Πλάτ. Πολ. Ζ, 18, 540.

5. Τὴν αὐτὴν τοίνυν ἀρχὴν ἀγαθῶν λαμβάνοντας ἥνπερ ἡμῶν ἐλάμβα-

νον οἱ πρόγονοι, ταύτην οὐκ «ἀκτέον» φασὶ τὴν εἰρήνην τινὲς εἶναι. Ἀνδοκ. 3, 40.

16. Οὐ μὴν δουλευτέον τοὺς νοῦν ἔχοντας τοῖς οὕτω κακῶς φρονοῦσιν, ἀλλὰ τῶν μὲν τοιούτων «ἀμελητέον», τοὺς δ' ἄλλους ἐθιστέον ἀκούειν, περὶ ὧν καὶ λέγειν δίκαιόν ἐστιν, Ἰσοκρ. 9, 7.

17, 1. Πρὸς γὰρ τὴν ἐκείνων ἀρετὴν ἀλλ' οὐ πρὸς τὴν τῶν τριάκοντα πονηρίαν «ἁμιλλητέον» ἡμῖν ἐστιν, ἄλλως τε καὶ προσῆκον ἡμῖν βελτίστοις ἁπάντων ἀνθρώπων εἶναι. Ἰσοκρ. 7, 73.

2. Εἰ δὲ ταῦτα μὲν ἱκανῶς ἔχεις, ἀρετῆς δὲ καὶ δόξης καλῆς καὶ τῆς παρὰ τῶν πολλῶν εὐνοίας ἐπιθυμεῖς, τοῖς τε λόγοις τοῖς ἐμοῖς προσεκτέον τὸν νοῦν ἐστὶ καὶ τοῖς καλῶς τὰς πόλεις τὰς αὐτῶν διακοῦσιν «ἁμιλλητέον» καὶ πειρατέον αὐτῶν διενεγκεῖν. Ἰσοκρ. Ἐπιστλ. 7, 7.

18, 1. Καὶ γὰρ ἥν τι που δεινὸν γίγνηται, ἡμῖν ἔσται «ἀμυντέον», Ξενοφ. ΚΠ. Η, 6, 6.

2. Χορ. Γερ. ταῦτ' οὖν οὐχ ὕβρις τὰ πράγματ' ἐστὶ πολλή; κἀπιδώσειν μοι δοκεῖ τὸ χρῆμα μᾶλλον. ἀλλ' «ἀμυντέον» τὸ πρᾶγμ' ὅστις γ' ἐνόρχης ἔστ' ἀνήρ. Ἀριστφ. Λυσ 661.

19, 1. Θεῶν δ' ἵλεων ὄντων «ἀναβιβαστέον» μέν σοι ἱππέας, καὶ ὅπως ἀναπληρῶται ὁ κατὰ τὸν νόμον ἀριθμὸς καὶ ὅπως τὸ ὂν ἱππικὸν μὴ μειῶται. εἰ δὲ μὴ προσαναβήσονται ἱππεῖς, μείονες ἀεὶ ἔσονται· Ξενοφ. Ἱππαρχ. 1, 2.

2. «Ἀναβιβαστέον» ἰδὲ 2, 15, 2.

20, 1. Πρακτέον μέν γε χρήματα, εἰ μέλλομεν ἕξειν δαπανᾶν εἰς τὰ δέοντα, «ἀναγκαστέον» δὲ φυλάττειν ὅσα δεῖται φυλακῆς, κολαστέον δὲ τοὺς ἀδίκους, κωλυτέον δὲ τοὺς ὑβρίζειν βουλομένους· Ξενοφ. Ἱερ. 8, 9.

2. Ἀλλ' εἴπως μέλλομεν πείσειν, ὡς οὐδεὶς πώποτε πολίτης ἕτερος ἑτέρῳ ἀπήχθετο οὐδ' ἔστι τοῦτο ὅσιον, τοιαῦτα μᾶλλον πρὸς τὰ παιδία εὐθὺς καὶ γέρουσι καὶ γραυσὶ καὶ πρεσβυτέροις γιγνομένοις καὶ τοὺς ποιητὰς ἐγγὺς τούτων «ἀναγκαστέον» λογοποιεῖν. Πλάτ. Πολ. Β, 17, 378, D.

3. Πότερον πρὸς τοῦτο βλέποντες τοὺς φύλακας καθιστῶμεν, ὅπως ὅ,τι πλείστη αὐτοῖς εὐδαιμονία ἐγγενήσεται, ἢ τοῦτο μὲν εἰς τὴν πόλιν ὅλην βλέποντας θεατέον εἰ ἐκείνῃ ἐγγίγνεται, τοὺς δ' ἐπικούρους τούτους καὶ τοὺς φύλακας ἐκεῖνο «ἀναγκαστέον» ποιεῖν καὶ πειστέον, ὅπως . . . . Πλάτ. Πολ. Δ, 1, 421, Β.

4. «Ἀναγκαστέον» ἰδὲ 2, 15, 4.

5. Ἀθ. «Ἀναγκαστέον» ἄρ', ὡς ἔοικε, καὶ τοὺς τῆς θείας πολιτείας ἡμῖν φύλακας ἀκριβῶς ἰδεῖν πρῶτον, ὅ,τί ποτε διὰ πάντων τῶν τεττάρων ταὐτὸν τυγχάνει, Πλάτ. Νομ. ιϐ, 12, 965. C.

21, 1. Τὰ μὲν οὖν ἀριστεῖα τῷ λόγῳ ἐκείνοις «ἀναθετέον», τὰ δὲ δευτερεῖα τοῖς περὶ Σαλαμῖνα καὶ ἐπ' Ἀρτεμισίῳ ναυμαχήσασι καὶ νικήσασι. Πλάτ. Μενεξ. 11. 240, Ε

2. Τοῦτο μὲν οὖν οὐδαμῶς «ἀναθετέον», ᾧ δ' ἐξέστω καὶ μή, τοῦτο νομοθετησώμεθα. Πλάτ. Νομ. ΙΑ, 13, 935, Ε.

3. Εἰ οὖν τῇ τύχῃ καὶ τῷ θεῷ τὴν αἰτίαν «ἀναθετέον», τὴν Ἑλένην τῆς δυσκλείας ἀπολυτέον. Γοργ. Ἑλ. 6.

22. Ξε. Διὰ τί δή ποτ' οὖν ἀναγκαῖον νομοθετεῖν, ἐπειδή περ οὐκ ὀρθότατον ὁ νόμος; «ἀνευρετέον» τούτου τὴν αἰτίαν. Πλάτ. Πολ. 34, 294, D.

23. Ὁποῖος δ' ἄν τις ᾖ, τούτῳ τάδε γε πάντα ταὐτὰ ποιητέον, ἤν περ γε βούληται ἀποδείξασθαι τὸν ἵππον οἷόν περ εἴρηται. «ἀνακρουστέον» μὲν τὸ στόμα τοῦ ἵππου οὔτε ἄγαν χαλεπῶς ὥστε ἐκνεύειν, οὔτε ἄγαν ἡσύχως ὡς μὴ αἰσθάνεσθαι. Ξενοφ. Ἱππ. 10, 12.

24, 1. Σω. Μνήμην, ὡς ἔοικεν, ὅ,τί ποτ' ἔστι, πρότερον «ἀναληπτέον», καὶ κινδυνεύει πάλιν ἔτι πρότερον αἴσθησιν μνήμης, εἰ μέλλει τὰ περὶ ταῦθ' ἡμῖν κατὰ τρόπον φανερά πῃ γενήσεσθαι. Πλάτ. Φιλ. 19, 33, C.

2. Ξε. Τὸ μὲν τοίνυν αὐτῶν παραλίπωμεν, τὸ δ' ἀναλάβωμεν, ἀναλαβόντες δὲ μεοισώμεθα εἰς δύο τὸ σύμπαν.

Νε. Σω. Λέγεις δ' αὐτοῖν «ἀναληπτέον» εἶναι πότερον; Πλάτ. Πολιτ. 5, 261, C.

3. Ξεν. Πάλιν δὴ τὸν ἔμπροσθεν λόγον «ἀναληπτέον», ὡς ἐπειδή . . . . . Πλάτ. Πολ. 20, 279.

4. Ἡμῖν δὲ οὐκ ἔστι τὰ νῦν ὀνομάτων πέρι δύσερις λόγος, ἀλλ' ἐπειδὴ τῶν ἁμαρτανομένων τρία εἴδη δεδήλωται γιγνόμενα, ταῦτα εἰς μνήμην πρῶτον ἔτι μᾶλλον «ἀναληπτέον». Πλάτ. Νομ. Θ, 7, 864, B.

25. Ὧν οὐδὲν ἐατέον οὕτως ἔχειν, ἀλλ' «ἀναστρεπτέον» καὶ μεταστατέον ἅπαντα ταῦτ' ἐστίν. Ἰσοκρ. 5, 132.

26, 1. Ἐάν τι προστάττῃ παθεῖν, ἡσυχίαν ἄγοντα, ἐάν τε τύπτεσθαι ἐάν τε δεῖσθαι, ἐάν τε εἰς πόλεμον ἄγῃ τρωθησόμενον ἢ ἀποθανούμενον, ποιητέον ταῦτα, καὶ τὸ δίκαιον οὕτως ἔχει, καὶ οὐχὶ ὑπεικτέον οὐδὲ «ἀναχωρητέον» οὐδὲ λειπτέον τὴν τάξιν, ἀλλὰ καὶ ἐν πολέμῳ καὶ ἐν δικαστηρίῳ καὶ πανταχοῦ ποιητέον ἃ ἂν κελεύῃ ἡ πόλις καὶ ἡ πατρίς, Πλάτ. Κρίτ. 12, 51, B.

2. Ὧδε οὖν πάλιν «ἀναχωρητέον», καὶ λαβοῦσιν αὐτῶν τούτων προσήκουσαν ἑτέραν ἀρχὴν αὖθις αὖ, καθάπερ περὶ τῶν τότε, νῦν οὕτω περὶ τούτων πάλιν ἀρκτέον ἀπ' ἀρχῆς· Πλάτ. Τίμ. 17, 48.

27. Ἀλλὰ πολὺ μᾶλλον ὅτι ἡμεῖς οὔπω ὑγιῶς ἔχομεν, ἀλλ' «ἀνδριστέον» καὶ προθυμητέον ὑγιῶς ἔχειν, σοὶ μὲν οὖν καὶ τοῖς ἄλλοις καὶ τοῦ ἔπειτα βίου παντὸς ἕνεκα, ἐμοὶ δὲ αὐτοῦ ἕνεκα τοῦ θανάτου. Πλάτ. Φαίδ. 40, 90, E.

28. Καὶ οὕτω σοφώτεροί τε εἰσιν ἕτεροι ἑτέρων καὶ οὐδεὶς ψευδῆ δοξάζει, καὶ σοί, ἐάν τε βούλῃ ἐάν τε μή, «ἀνεκτέον» ὄντι μέτρῳ· Πλάτ. Θεαιτ. 20, 167, D.

29. Σω. Ὀρθῶς. πάλιν τοίνυν μετὰ τοῦτο τὴν φρόνησιν καὶ τὸν νοῦν «ἀνερωτητέον»· ἆρ' ἡδονῶν τι προσδεῖσθε ἐν τῇ συγκράσει; Πλάτ. Φιλ. 39, 63, C.

30, 1. Ξε. Οὐκοῦν περὶ μὲν τούτου καὶ τάχα ἐπισκεψόμεθα σαφέστερον, ἂν ἔτι βουλομένοις ἡμῖν ᾖ· περὶ δὲ τοῦ σοφιστοῦ που δῆλον ὡς οὐκ «ἀνετέον», πρὶν ἂν ἱκανῶς αὐτὸν θεασώμεθα. Πλάτ. Σοφ. 39 254, B.

2. Νε. Σω. Ἀλλὰ τοῦτό γε οὐκ «ἀνετέον». Πλάτ. Πολ. 30 291. C.

3. Ἐπειδὴ δὲ οὐδαμῇ ταύτῃ ἤνυτον, ἔδοξέ μοι ἐπιθετέον εἶναι τῷ ἀνδρὶ κατὰ τὸ καρτερὸν καὶ οὐκ «ἀνετέον», ἐπειδή περ ἐγκεχειρήκη, ἀλλὰ ἰστέον ἤδη τί ἐστι τὸ πρᾶγμα. Πλάτ. Συμπ. 33, 217. C.

31. Ὡς τοίνυν διὰ βραχέων εἰπεῖν, τούτου «ἀνθεκτέον» τοῖς ἐπιμεληταῖς τῆς πόλεως, ὅπως . . . . Πλάτ. Πολ. Δ, 3, 424, B.

32. Καίτοι τί πάσχω; τοῦ θεοῦ προθυμίᾳ πολεμῶ, τὰ μητρὸς σύμβολ' ὅς σέσωκέ μοι. «ἀνοικτέον» τάδ' ἐστὶ καὶ τολμητέον. Εὐριπ. Ἴων 1387.

33, 1. Ἦν δ' ὁ μῦθος ὡς «ἀνοιστέον» σοι τοὔργον εἴη τοῦτο κοὐχὶ κρυπτέον. Σοφ. Ἀντιγ. 272.

2. Οὐδὲν μέλει μοι σύν γε σοὶ πράσσειν κακῶς· καὶ γὰρ ποτ' ηὐτύχησ'· ἐκεῖσε «ἀνοιστέον», ὅτι ἐξέσωσάς μ' ἐς φάος νεκρῶν πάρα. Εὐριπ. Ἡρ. Μ. 1221.

34, 1. Ἆρ' οὖν οὐ πρῶτον μὲν τοῦτο περὶ αὐτῶν «ἀνομολογητέον», εἰ δυνατὰ ἢ οὔ, καὶ δοτέον ἀμφισβήτησιν, εἴτε τις φιλοπαίσμων εἴτε σπουδαστικὸς ἐθέλει ἀμφισβητῆσαι, Πλάτ. Πολ. Ε, 4, 452, Ε.

2. Τίς οὖν δὴ τρόπος ἂν εἴη τῆς ὀρθῆς διανομῆς; πρῶτον μὲν τὸν αὐτῶν ὄγκον τοῦ ἀριθμοῦ δεῖ τάξασθαι, πόσον εἶναι χρεών· μετὰ δὲ τοῦτο τὴν διανομὴν τῶν πολιτῶν καθ' ὁπόσα μέρη πλήθει καὶ ὁπηλίκα διαιρετέον αὐτούς, «ἀνομολογητέον»· Πλάτ. Νομ. Ε, 8, 737, C.

35. Νομίζων, ὥσπερ ἄλλοι τινές, παρ' ὑμῖν καὶ αὐτὸς ὢν ἐπιεικὴς τιμηθήσεσθαι, καὶ οὐκ «ἀνταλλακτέον» εἶναί μοι τὴν πρὸς ὑμᾶς φιλοτιμίαν οὐδενὸς κέρδους· Δημ. 19, 223.

36, 1. Σω. Τί οὖν; οὐκ «ἀνταποδοτέον» ταῖς λύπαις τε καὶ ἡδοναῖς τὴν τούτων ἀντίστροφον ἕξιν ἐν ἐκείνοις; Πλάτ. Φιλ. 24, 40, D.

2. Τόν τε αὖ σῶμα ἐπιμελῶς πλάττοντα τὰς τῆς ψυχῆς «ἀνταποδοτέον» κινήσεις, μουσικῇ καὶ πάσῃ φιλοσοφίᾳ προσχρώμενον, εἰ μέλλει δικαίως τις ἅμα μὲν καλός, ἅμα δὲ ἀγαθὸς ὀρθῶς κεκλήσεσθαι. Πλάτ. Τίμ. 42, 88, C.

37. Ἀλ. φιλῶ πόλιν τήνδ'. οὐδὲν «ἀντιλεκτέον». Εὐριπ. Ἡρακ. 975.

38, 1. Εἴς γε μὴν τὸ πρανὲς καὶ ἑαυτὸν ὑπτιαστέον καὶ τοῦ ἵππου «ἀντιληπτέον» τῷ χαλινῷ, ὡς μὴ προπετῶς εἰς τὸ κάταντες μήτε αὐτὸς ὁ ἵππος φέρηται. Ξενοφ. Ἱππικ. 8, 8.

2. Χορ. οὐδὲν ποιοῦμεν, ὦνδρες, ἀλλ' ὁμοθυμαδὸν ἅπασιν ἡμῖν αὖθις «ἀντιληπτέον». Ἀριστφ. Εἰρήν. 485.

3. Ὅτι τῶν πραγμάτων ὑμῖν ἐκείνων αὐτοῖς «ἀντιληπτέον» ἐστίν, Δημ. 1, 2.

4. Ὑμεῖς δὲ ὡς οὐδενὸς «ἀντιληπτέον» ἐρρωμένως τῶν πραγμάτων, Δημ. 1, 14.

39. Ξε. Καὶ μὴν πρὸς ἐκεῖνα οὐδὲ «ἀντιρρητέον». Πλάτ. Πολ. 35, 297, B.

40, 1. Εἰ μέλλομέν ποτε καθαρῶς τι εἴσεσθαι, «ἀπαλλακτέον» αὐτοῦ καὶ αὐτῇ τῇ ψυχῇ θεατέον αὐτὰ τὰ πράγματα· Πλάτ. Φδ. 11, 66, Ε.

2. Ξε. Τὴν δ' εἴτε πολεμητέον εἴτε διὰ φιλίας «ἀπαλλακτέον» οἵαν τε καὶ ἐπιστήμονα διαβουλεύσασθαι, ταύτης ἑτέραν ὑπολάβωμεν ἢ τὴν αὐτὴν ταύτῃ; Πλάτ. Πολ. 43, 304, Ε.

3. Πῶς γάρ; τῷ ἑνὶ ἄρα, ἐπειδὴ οὐδαμῇ ἐστιν, οὔθ' ἑκτέον οὔτε «ἀπαλλακτέον» οὔτε μεταληπτέον οὐσίας οὐδαμῶς. Πλάτ. Παρμ. 25, 163, D.

4. Εὖ γὰρ ἐπίστασθε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι οὐχ οἷόν τε ὑμῖν ἐστιν ἅμα τοῖς τε νόμοις τοῖς πατρίοις καὶ Ἀνδοκίδῃ χρῆσθαι, ἀλλὰ δυοῖν θάτερον, ἢ τοὺς νόμους ἐξαλειπτέον ἐστὶν ἢ «ἀπαλλακτέον τοῦ ἀνδρός. Λυσίας 6, 8.

41. Νῦν μὲν οὖν «ἀπαντητέον» μοι εἰς τὴν τοῦ βασιλέως στοὰν ἐπὶ τὴν Μελήτου γραφήν, ἥν με γέγραπται· ἕωθεν δέ, ὦ Θεόδωρε, δεῦρο πάλιν ἀπαντῶμεν. Πλάτ. Θεαιτ. 44, 210, D.

42. Ἀλλ ἀνὴρ παφλάζει, παῦε παῦ' ὑπερζέων· ὑφελκτέον τῶν δαδίων, «ἀπαρυστέον» τε τῶν ἀπειλῶν ταυτηί. Ἀριστρ. Ἱππ. 921.

43, 1. Οὐκοῦν καὶ τῶν μὲν μαχομένων ἀπειλητικὰ τὰ ὄμματα «ἀπεικαστέον, τῶν δὲ νενικηκότων εὐφραινομένων ἡ ὄψις μιμητέα; Ξενοφ. Ἀπ. 3, 10, 8.

2. Σω. Ἡ γοῦν ἄνευ τούτων μέθοδος ἐοίκοι ἂν ὥσπερ τυφλοῦ πορείᾳ· ἀλλ' οὐ μὴν «ἀπεικαστέον» τόν γε τέχνῃ μετιόντα ὁτιοῦν τυφλῷ οὐδὲ κωφῷ, ἀλλὰ δῆλον ὡς, ἄν τῳ τις τέχνῃ λόγους διδῷ, τὴν οὐσίαν δείξει ἀκριβῶς τῆς φύσεως τούτου, πρὸς ὃ τοὺς λόγους προσοίσει· Πλάτ. Φρ. 55, 270, Ε.

44. Ἐπεὶ δὲ οὔτε Χειρίσοφος ἧκεν οὔτε πλοῖα ἱκανὰ ἦν οὔτε τὰ ἐπιτήδεια ἦν λαμβάνειν ἔτι, ἐδόκει «ἀπιτέον» εἶναι. Ξενοφ. ΚΑ. 5, 3, 1.

45. Σω. Οὐκοῦν εἰ καὶ τὸ τῆς ἡδονῆς γένος ἰδεῖν ἥν τινά ποτε ἔχει φύσιν βουληθεῖμεν, οὐκ εἰς τὰς πολλοστὰς ἡδονὰς «ἀποβλεπτέον», ἀλλ' εἰς τὰς ἀκροτάτας καὶ σφοδροτάτας λεγομένας. Πλάτ. Φλ. 27, 45.

46. Ἡμῖν δὲ «ἀποδεικτέον» αὖ τοὐναντίον, ὡς ἐπ' εὐτυχίᾳ τῇ μεγίστῃ παρὰ θεῶν ἡ τοιαύτη μανία δίδοται· Πλάτ. Φρ. 23, 245, Β.

47, 1. Ὅμως δὲ ἐπειδή περ τὴν λεοντῆν ἐνδέδυκα, οὐκ «ἀποδειλιατέον», ἀλλ' ἐπισκεπτέον, ὡς ἔοικε, φρόνησιν καὶ σύνεσιν καὶ γνώμην καὶ ἐπιστήμην καὶ τἆλλα δὴ ἃ φῄς πάντα ταῦτα τὰ καλὰ ὀνόματα. Πλάτ. Κρατ. 26, 411.

2. Ὅμως δὲ οὐκ «ἀποδειλιατέον», ὅσον γ' ἂν δύναμις παρείκῃ. Πλάτ. Πολ 15, 374, Ε.

48, 1. Δεήσει μέντοι σε, ἔφην ἐγώ, ἔνδον τε μένειν καὶ οἷς μὲν ἂν ἔξω τὸ ἔργον ᾖ τῶν οἰκετῶν, τούτους συνεκπέμπειν, οἷς δ' ἂν ἔνδον ἔργον ἐργαστέον, τούτων σοι ἐπιστατητέον, καὶ τά τε εἰσφερόμενα «ἀποδεκτέον», καὶ ἃ μὲν ἂν αὐτῶν δέῃ δαπανᾶν, σοι διανεμητέον, ἃ δ' ἂν περιττεύειν δέῃ, προνοητέον καὶ φυλακτέον ὅπως μὴ ἡ εἰς τὸν ἐνιαυτὸν κειμένη δαπάνη εἰς τὸν μῆνα δαπανᾶται. Ξενοφ. Οἰκ. 7, 36.

2. Ἀλλήλοις δὲ λείπεται συνδεδέσθαι, ὥστε εἴτε τις εἶναί τι ὀνομάζει, τινὶ εἶναι ἤ τινος ἢ πρός τι ῥητέον αὐτῷ, εἴτε γίγνεσθαι· αὐτὸ δὲ ἐφ' αὑτοῦ τι ἢ ὂν ἢ γιγνόμενον οὔτε αὐτῷ λεκτέον οὔτ' ἄλλου λέγοντος «ἀποδεκτέον», ὡς ὁ λόγος ὃν διεληλύθαμεν σημαίνει. Πλάτ. Θεαιτ. 14, 160, C.

3. Τί δὴ οὖν; φήσει ἴσως ὁ συγγραφεύς, ὦ Φαῖδρε τε καὶ Σώκρατες, δοκεῖ οὕτως; ἢ ἄλλως πως «ἀποδεκτέον» λεγομένης λόγων τέχνης; Πλάτ. Φρ. 56, 272, Β.

4. Οὐκ ἄρα, ἦν δ' ἐγώ, «ἀποδεκτέον» οὔτε Ὁμήρου οὔτε ἄλλου ποιητοῦ ταύτην τὴν ἁμαρτίαν περὶ τοὺς θεοὺς ἀνοήτως ἁμαρτάνοντος καὶ λέγοντος, ὡς δοιοὶ πίθοι. . . . . . . Πλάτ. Πολ. Β, 18, 379. C.

5. Δοκεῖ μοι, ἔφη. Οὔτε ἄρα ἀνθρώπους ἀξίους λόγου κρατουμένους ὑπὸ γέλωτος ἄν τις ποιῇ, «ἀποδεκτέον», πολὺ δὲ ἧττον, ἐὰν θεούς. Πολὺ μέντοι ἦ δ' ὅς, Οὔκουν Ὁμήρου οὐδὲ τοιαῦτα (ἀποδεξόμεθα περὶ θεῶν),

ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν,
ὡς ἴδον Ἥφαιστον διὰ δώματα ποιπνύοντα,

οὐκ «ἀποδεκτέον» κατὰ τὸν σὸν λόγον. Εἰ σύ, ἔφη, βούλει ἐμὸν τιθέναι· οὐ γὰρ οὖν δὴ ἀποδεκτέον. Πλάτ. Πολ. Γ. 3, 389.

6. Σωκρ. Ἄριστα, ὦ Τίμαιε, παντάπασί τε ὡς κελεύεις «ἀποδεκτέον»·

τὸ μὲν οὖν προοίμιον θαυμασίως ἀπεδεξάμεθά σου, τὸν δὲ δὴ νόμον ἡμῖν ἑφεξῆς πέραινε. Πλάτ. Τίμ. 5, 29, D.

7. Ἀθ. Ἥκιστ' ἄρα' ὅταν τις μουσικὴν ἡδονῇ φῇ κρίνεσθαι, τοῦτον «ἀποδεκτέον» τὸν λόγον, καὶ ζητητέον ἥκιστα ταύτην ὡς σπουδαίαν, εἴ τις ἄρα που καὶ γίγνοιτο, ἀλλ' ἐκείνην τὴν ἔχουσαν τὴν ὁμοιότητα τῷ τοῦ καλοῦ μιμήματι. Πλάτ. Νομ. Β, 10, 668.

49. Οὐ μέντοι τὸν μὴ καλῶς πάνυ ταῦτα ποιοῦντα «ἀποδοκιμαστέον». Ξενοφ. Ἱππκ. 3, 8.

50, 1. Σω. Τοῖς μὲν δὴ κατὰ φύσιν γιγνομένοις τὰ αὐτὰ «ἀποδοτέον» ὀνόματα. Πλάτ. Κρατ. 13, 394. D.

2. Σω. Καὶ τῷ ἐκ τοῦ εὐσεβοῦς ἄρα γενομένῳ ἀσεβεῖ τὸ τοῦ γένους ὄνομα «ἀποδοτέον». Πλάτ. Κρατ. 14, 394, Ε.

3. «Ἀποδοτέον» δέ γε οὐδ' ὁπωστιοῦν τότε, ὁπότε τις μὴ σωφρόνως ἀπαιτοῖ; Πλάτ. Πολ. Α. 6, 332.

4. Πάνυ μοὶ οὖν. Τί δέ; τοῖς ἐχθροῖς «ἀποδοτέον», ὅ,τι ἂν τύχῃ ὀφειλόμενον; Πλάτ. Πολ. Α. 6, 332, Β.

5. Τοιοίδε πού τινες, ἦν δ' ἐγώ· οἷος τυγχάνει ὁ θεὸς ὤν, ἀεὶ δή που «ἀποδοτέον», ἐάν τε τις αὐτὸν ἐν ἔπεσι ποιῇ ἐάν τε ἐν τραγῳδίᾳ. Πλάτ. Πολ. Β, 18, 379.

6. Καὶ ταῖς γυναιξὶν ἄρα τούτω τὼ τέχνα καὶ τὰ περὶ τὸν πόλεμον, «ἀποδοτέον» καὶ χρηστέον κατὰ ταὐτά. Πλάτ. Πολ. Ε, 3, 452.

7. Τὸν δὴ μαθηματικὸν ἤ τινα ἄλλην σφόδρα μελέτην διανοίᾳ κατεργαζόμενον καὶ τὴν τοῦ σώματος «ἀποδοτέον» κίνησιν, γυμναστικῇ προσομιλοῦντα, τόν τε αὖ σῶμα κτλ. ἰδὲ 36. Πλάτ. Τίμ. 42, 88, C.

8. Ὃς δ' ἂν τοῖς τεθεῖσι νόμοις εὐπειθέστατός τ' ᾖ καὶ νικᾷ ταύτην τὴν νίκην ἐν τῇ πόλει, τούτῳ φαμὲν καὶ τὴν τῶν θεῶν ὑπηρεσίαν δοτέον εἶναι τὴν μεγίστην τῷ πρώτῳ, καὶ δευτέραν τῷ τὰ δεύτερα κρατοῦντι, καὶ κατὰ τὸν λόγον οὕτω τοῖς ἐφεξῆς τὰ μετὰ ταῦθ' ἕκαστα «ἀποδοτέον» εἶναι. Πλάτ. Νομ. Δ. 7, 715, C.

9. Τούτων νομοθέτῃ τὸ σμικρότατον ἁπάντων οὐδὲν κινητέον, τοῖς δὲ μέρεσιν ἑκάστοις θεὸν ἢ δαίμονα ἤ καί τινα ἥρωα «ἀποδοτέον», ἐν δὲ τῇ τῆς γῆς διανομῇ πρώτοις ἐξαίρετα τεμένη τε καὶ πάντα τὰ προσήκοντα «ἀποδοτέον», ὅπως ἂν . . . . Πλάτ. Νομ. Ε, 9, 738, D. [2]

10. Ἔπειτα οὕτω δὴ τοὺς νόμους ταῖς ἀρχαῖς ἑκάσταις «ἀποδοτέον», οὕστινάς τε αὖ καὶ ὅσους καὶ οἵους προσῆκον ἂν ἑκάσταις εἴη. Πλάτ. Νομ. ς'. 1, 751.

11. Κλ. Ποῖα δὴ νομοθετητέον τε καὶ ποῖα «ἀποδοτέον» κρίνειν τοῖς δικαστηρίοις; Πλάτ. Νομ. Θ. 13, 876.

51. «Ἀποδυτέον» δὴ ταῖς τῶν φυλάκων γυναιξίν, ἐπείπερ ἀρετὴν ἀντὶ ἱματίων ἀμφιέσονται, καὶ κοινωνητέον πολέμου τε καὶ τῆς ἄλλης φυλακῆς τῆς περὶ τὴν πόλιν, καὶ οὐκ ἄλλα «πρακτέον». Πλάτ. Πολ. Ε, 6, 457.

52. Ἀλλ' ὅμως ἐπείπερ ἐνταῦθα ἐληλύθαμεν, ὅσον οἷόν τε σαφέστατα κατιδεῖν ὅτι ταῦτα οὕτως ἔχει, οὐ χρὴ ἀποκάμνειν. Ἥκιστα νὴ τὸν Δία, ἔφη, πάντων «ἀποκμητέον». Πλάτ. Πολ. Δ. 19, 445, Β.

53, 1. Οὐ μὴν ἀλλ' ἐπειδή περ ἀποκεκαλυμμένως ὥρμημαι λέγειν, οὐκ «ἀποκνητέον» ἀποφήνασθαι καὶ περὶ τούτων. Ἰσοκρ. 8, 62.

2. Σω. Οὐκ «ἀποκνητέον» οὐδὲ μαλακιστέον, ὦ ἑταῖρε. Πλάτ. Ἀλκ. 19, 124, D.

3. Ἀλλ' οὐ μέντοι, ἦν δ' ἐγώ, «ἀποκνητέον» γε τῷ λόγῳ ἐπεξελθεῖν σκοπούμενον, ἕως ἄν σε ὑπολαμβάνω λέγειν ἅπερ διανοεῖ. Πλάτ. Πολ. Α, 20, 349.

4. Ἀλλ' ἴσως, ἦν δ' ἐγώ, καλῶς λέγεις· καὶ σκεπτέον γε καὶ οὐκ «ἀποκνητέον». Πλάτ. Πολ. Β. 12, 372.

5. Με. Καὶ μὴν εἴ τινα ἔχομεν ὀρθὴν σκέψιν τῶν τοιούτων, οὐκ «ἀποκνητέον» ἀκούειν. Πλάτ. Νομ. Α, 10, 639.

54, 1. Σω. Ἀποκρίνου δή· καὶ ἐὰν μὴ αὐτὸς σοῦ ἀκούσῃς, ὅτι τὰ δίκαια συμφέροντά ἐστιν, ἄλλῳ γε λέγοντι μὴ πιστεύσῃς. Αλ. Οὔτοι, ἀλλ' «ἀποκριτέον»· καὶ γὰρ οὐδὲν οἴομαι βλαβήσεσθαι. Πλάτ. Ἀλκβ. 10, 114. Ε.

2. Οὐκ οἶδα, ὦ Σώκρατες, ἔφη, ἁπλῶς οὕτως, ὡς σὺ ἐρωτᾷς, εἰ ἐμοὶ «ἀποκριτέον» ἐστίν, ὡς τὰ ἡδέα τε ἀγαθά ἐστιν ἅπαντα καὶ τὰ ἀνιαρὰ κακά· Πλάτ. Πρωτ. 35, 351, C.

3. Σω. Τοιοῦτός τις, ὦ Ἱππία, οὐ κομψὸς ἀλλὰ συρφετός, οὐδὲν ἄλλο φροντίζων ἢ τὸ ἀληθές. ἀλλ' ὅμως «ἀποκριτέον» τῷ ἀνδρί, καὶ ἔγωγε προαποφαίνομαι· Πλάτ. Ἱπ. Μ. 10, 288, D.

4. Πρῶτον δὴ ἡμῖν, ὡς ἔοικεν, ἐπιστατητέον τοῖς μυθοποιοῖς, καὶ ὃν μὲν ἂν καλὸν ποιήσωσιν, ἐγκριτέον, ὃν δ' ἂν μή, «ἀποκριτέον»· Πλάτ. Πολ. Β, 17, 377, C.

5. Ὃ τοίνυν ἄρτι ἔλεγον, ζητητέον, τίνες ἄριστοι φύλακες τοῦ παρ' αὑτοῖς δόγματος, τοῦτο ὡς ποιητέον, ὃ ἂν τῇ πόλει ἀεὶ δοκῶσι βέλτιστον εἶναι αὐτοὺς ποιεῖν. τηρητέον δὴ εὐθὺς ἐκ παίδων, προθεμένους ἔργα, ἐν οἷς ἄν τις τὸ τοιοῦτον μάλιστα ἐπιλανθάνοιτο καὶ ἐξαπατῷτο, καὶ τὸν μὲν μνήμονα καὶ δυσεξαπάτητον ἐγκριτέον, τὸν δὲ μὴ «ἀποκριτέον». Πλάτ. Πολ. Γ, 20, 413, C. D.

6. Καὶ τὸν ἀεὶ ἔν τε παισὶ καὶ νεανίσκοις καὶ ἐν ἀνδράσι βασανιζόμενον καὶ ἀκήρατον ἐκβαίνοντα καταστατέον ἄρχοντα τῆς πόλεως καὶ φύλακα, καὶ τιμὰς δοτέον καὶ ζῶντι καὶ τελευτήσαντι, τάφων τε καὶ τῶν ἄλλων μνημείων μέγιστα γέρα λαγχάνοντα· τὸν δὲ μὴ τοιοῦτον «ἀποκριτέον». Πλάτ. Πολ. Γ, 20, 414.

7. Ἐλέγομεν δ', εἰ μνημονεύεις, δεῖν αὐτοὺς φιλοπόλιδάς τε φαίνεσθαι, βασανιζομένους ἐν ἡδοναῖς τε καὶ λύπαις, καὶ τὸ δόγμα τοῦτο μήτ' ἐν πόνοις μήτ' ἐν φόβοις μήτ' ἐν ἄλλῃ μηδεμιᾷ μεταβολῇ φαίνεσθαι ἐκβάλλοντας, ἢ τὸν ἀδυνατοῦντα «ἀποκριτέον», τὸν δὲ πανταχοῦ ἀκήρατον ἐκβαίνοντα, ὥσπερ χρυσὸν ἐν πυρὶ βασανιζόμενον, στατέον ἄρχοντα καὶ γέρα δοτέον καὶ ζῶντι καὶ τελευτήσαντι καὶ ἆθλα. Πλάτ. Πολ. Ϛ'. 15, 503.

55. Ἆρά γε, ὦ γύναι, διὰ τοιαύτας τινὰς προνοίας καὶ τῆς ἐν τῷ σμήνει ἡγεμόνος αἱ μέλιτται οὕτω διατίθενται πρὸς αὐτήν, ὥστε ὅταν ἐκείνη ἐκλίπῃ, οὐδεμία οἴεται τῶν μελιττῶν «ἀπολειπτέον» εἶναι, ἀλλ' ἕπονται πᾶσαι; Ξενοφ. Οἰκ. 7, 38.

56, 1 «Ἀπολογητέον» δή, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐπιχειρητέον ὑμῶν ἐξελέσθαι τὴν διαβολήν, ἣν ὑμεῖς ἐν πολλῷ χρόνῳ ἔσχετε, ταύτην ἐν οὕτως ὀλίγῳ χρόνῳ. βουλοίμην μὲν οὖν ἂν τοῦτο οὕτω γενέσθαι, εἴ τι ἄμεινον καὶ ὑμῖν καὶ ἐμοί, καὶ πλέον τι με ποιῆσαι ἀπολογούμενον· οἶμαι δὲ αὐτὸ χα-

λεπὸν εἶναι, καὶ οὐ πάνυ με λανθάνει οἷόν ἐστιν. ὅμως τοῦτο μὲν ἴτω ὅπῃ τῷ θεῷ φίλον, τῷ δὲ νόμῳ πειστέον καὶ «ἀπολογητέον». Πλάτ. Ἀπ. 2, 18, Ε. καὶ 19.

2. Σχεδὸν δ' εἰς λόγον ὁ λόγος ἥκει μοι ξυνεχὴς τῷ νῦν δὴ γενομένῳ, περὶ οὗ μοι τὸ δεύτερον «ἀπολογητέον» *ἔφην* εἶναι. Πλάτ, Ἐπιστ. Γ, 318, Ε.

3. Ὥστε πολὺ πρότερον ὑπὲρ αὐτῶν αὐτοῖς ἐστιν «ἀπολογητέον» ἢ τοῦτον παρ' ὑμῶν ἐξαιτητέον. Λυκοῦργ. κατὰ Λεωκρ. 135.

57. «Ἀπολυτέον» ἰδὲ 2, 21.

58. Κυκλ. Ὠνοχόος ἄδικος. Σειλ. οὐ μὰ Δι', ἀλλ' ᾧνος γλυκύς. «ἀπομυκτέον» δέ σοι γ', ὅπως λήψει πιεῖν. Εὐριπ. Κυκλ. 561.

59. Οὐ γὰρ ποθ' ὑγιὲς οὐδὲν ἐξελήλυθεν δράσουσ'. ὅμως δ' οὖν ἐστιν «ἀποπατητέον». Ἀριστφ. Ἐκκλ. 326.

60. Ὅμως δὲ καίπερ τοσοῦτον πλεονεκτούσης τῆς ποιήσεως, οὐκ ὀκνητέον ἀλλ' «ἀποπειρατέον» τῶν λόγων ἐστίν, εἰ καὶ τοῦτο δυνήσονται, τοὺς ἀγαθοὺς ἄνδρας εὐλογεῖν μηδὲν χεῖρον τῶν ἐν ταῖς ᾠδαῖς καὶ τοῖς μέτροις ἐγκωμιαζόντων. Ἰσοκρ. 9, 11.

61, 1. Ὡς, ἤν τις καὶ μὴ παρακαλῇ σφᾶς, οὐκ «ἀποστατέον» ἔτι τοῦ πολέμου εἴη, ἀλλ' ἐθελοντὶ ἰτέον ἐπὶ τοὺς Ἀθηναίους, Θουκ. 8, 2.

2. Εἰ γὰρ ἦν ἅπασι πρόδηλα τὰ μέλλοντα γενήσεσθαι, καὶ προῄδεσαν πάντες, καὶ σὺ προὔλεγες, Αἰσχίνη, καὶ διεμαρτύρου βοῶν καὶ κεκραγώς, ὃς οὐδ' ἐφθέγξω, οὐδ' οὕτως «ἀποστατέον» τῇ πόλει τούτων ἦν, εἴπερ δόξης ἢ προγόνων ἢ τοῦ μέλλοντος αἰῶνος εἶχε λόγον. Δημ. 18, 199.

3. Καὶ μὴν οὐδ' ἐκείνου γ' «ἀποστατέον» τοῦ λόγου, ὅτι ... Δημ. 20, 139.

4. Ξε. Ταῦτ', ὦ Θεόδωρε, ποιητέον· ἐπείπερ ἅπαξ γε ἐγκεχειρήκαμεν, οὐκ «ἀποστατέον» πρὶν ἂν αὐτῶν πρὸς τὸ τέλος ἔλθωμεν Πλάτ. Πολ. Ι, 257, C.

5. Οὐ μὴν «ἀποστατέον» ἐστὶν ἀλλὰ λεκτέον, περὶ ὧν ὑπεθέμην, ὅ,τι ἂν ὑποπέσῃ καὶ συμφέρῃ πρὸς τὸ πεῖσαί σε ταῦτα πράττειν. Ἰσοκρ. 5, 85.

6. Ἀλλ' ὅμως οὐδὲν μᾶλλον «ἀποστατέον» αὐτῶν ἐστὶν ἀλλ' ἐπιτελεστέον, ἥνπερ ἔτι ζῆν δυνηθῶμεν, ἄλλως τε καὶ . . . Ἰσοκρ. 12, 37.

62. Πολλάκις δ' ὁ τοιοῦτος καὶ διαιρουμένων τοὺς ἀντισφαιριοῦντας ἀχώριστος περιγίγνεται, καὶ ἐν χοροῖς δ' εἰς τὰς ἐπονειδίστους χώρας ἀπελαύνεται, καὶ μὴν ἐν ὁδοῖς παραχωρητέον αὐτῷ καὶ ἐν θάκοις καὶ τοῖς νεωτέροις ὑπαναστατέον, καὶ τὰς μὲν προσηκούσας κόρας οἴκοι θρεπτέον, καὶ ταύτας τῆς ἀνανδρίας αἰτίαν ὑφεκτέον, γυναικὸς δὲ κενὴν ἑστίαν περιοπτέον, καὶ ἅμα τούτου ζημίαν «ἀποτιστέον», λιπαρὸν δὲ οὐ πλανητέον, οὐδὲ μιμητέον τοὺς ἀνεγκλήτους, ἢ πληγὰς ὑπὸ τῶν ἀμεινόνων ληπτέον. Ξενοφ. Λακ. Π. 9, 5.

63. Οὕτως, ἔφη. Οὐκοῦν τῆς τῶν πλησίον χώρας ἡμῖν «ἀποτμητέον», εἰ μέλλομεν ἱκανὴν ἕξιν νέμειν τε καὶ ἀροῦν, Πλάτ. Πολ. Β, 14, 373, D.

64, 1. Τοῦτο δὴ ἔλεγον, ὅτι μουσικῆς πρότερον «ἁπτέον» ἢ γυμναστικῆς. Πλάτ. Πολ. Β. 17, 377.

2. Εἰ γὰρ ὀρθῶς ἐλέγομεν ἄρτι καὶ τῷ ὄντι θεοῖσι μὲν ἄχρηστον ψεῦδος, ἀνθρώποις δὲ χρήσιμον ὡς ἐν φαρμάκου εἴδει, δῆλον, ὅτι τό γε τοιοῦτον ἰατροῖς δοτέον, ἰδιώταις δὲ οὐχ «ἁπτέον». Δῆλον, ἔφη. Τοῖς ἄρχουσι δὴ τῆς πόλεως εἴπερ τισὶν ἄλλοις προσήκει ψεύδεσθαι ἢ πολεμίων ἢ πολιτῶν ἕνε-

κα ἐπ' ὠφελείᾳ τῆς πόλεως· τοῖς δὲ ἄλλοις πᾶσιν οὐχ «ἁπτέον» τοῦ τοιούτου, ἀλλὰ πρός γε δὴ τοὺς τοιούτους ἄρχοντας ἰδιώτῃ ψεύσασθαι ταὐτὸν καὶ μεῖζον ἁμάρτημα φήσομεν ἢ... Πλάτ. Πολ. Γ. 3, 389, B. [2]

3. Πολεμικῷ μὲν γὰρ διὰ τὰς τάξεις ἀναγκαῖον μαθεῖν ταῦτα, φιλοσόφῳ δὲ διὰ τὸ τῆς οὐσίας «ἁπτέον» εἶναι γενέσεως ἐξαναδύντι, ἢ μηδέποτε λογιστικῷ γενέσθαι. Πλάτ. Πολ. Ζ, 8, 525, B.

4. Οὐκοῦν ἵνα μὴ γίγνηται ὁ ἔλεος οὗτος περὶ τοὺς τριακοντούτας σοι, εὐλαβουμένῳ παντὶ τρόπῳ τῶν λόγων «ἁπτέον»; Πλάτ. Πολ. Ζ, 17, 539.

5. ΑΘ. Ἔοικε τοίνυν ἀηθεστέρων «ἁπτέον» λόγων. Πλάτ. Πολ. I, 5, 891, D.

65. Οἱ γὰρ εὐγενεῖς κάμνουσι τοῖς αἰσχροῖσι τῶν τέκνων ὕπερ, ἐμοί τε μίμημ' ἀνδρὸς «ἀπωστέον». Εὐρ. Ἡρ. Μ. 294.

66, 1. Ἀλλ' οὐδὲν ἔργον ταῦτα θρηνεῖσθαι μάτην, ἀλλ' «ἀρκτέον» τὸ πρᾶγμα σὺν τάχει τινί. Σοφ. Αἴας 853.

2. Κινδυνεύει ἔαρος, ἔφη, εἶναι τούτου τοῦ ἔργου «ἀρκτέον». Ξενοφ. Οἰκον. 16, 12.

3. Ὧδε οὖν πάλιν ἀναχωρητέον καὶ λαβοῦσιν αὐτῶν τούτων προσήκουσαν ἑτέραν ἀρχὴν αὖθις αὖ, καθάπερ περὶ τῶν τότε νῦν οὕτω περὶ τούτων πάλιν «ἀρκτέον» ἀπ' ἀρχῆς· Πλάτ. Τιμ. 17, 48. B.

4. Οὐχ, ὅτι πολλάκις ἡμάρτηται δήπου πρότερον, διὰ τοῦτ' ἐπεξαμαρτητέον ἐστὶ καὶ νῦν, ἀλλὰ τοὐναντίον «ἀρκτέον», ὡς ὁ νόμος κελεύει τὰ τοιαῦτα ποιεῖν ἀναγκάζειν ἀπὸ τοῦ πρώτου. Δημ. 22, 6.

5. Εἰ μὲν γὰρ τὰ πάτρια σκοποῦσιν, οὐ τῶν ἄλλων αὐτοῖς «ἀρκτέον» ἀλλὰ πολὺ μᾶλλον Ὀρχομενίοις φόρον οἰστέον. Ἰσοκρ. 14. 10.

67, 1. Τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν ἀνθρώποις, ἀλλ' εἴτε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς, εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον, εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον, εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς ἐπ' ἀρετῇ θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρατέον εὖ ποιεῖν, εἴτε γῆν βούλει σοι καρποὺς ἀφθόνους φέρειν, τὴν γῆν θεραπευτέον, εἴτε ἀπὸ βοσκημάτων οἴει δεῖν πλουτίζεσθαι, τῶν βοσκημάτων ἐπιμελητέον, εἴτε διὰ πολέμου ὁρμᾷς αὔξεσθαι καὶ βούλει δύνασθαι τούς τε φίλους ἐλευθεροῦν καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς πολεμικὰς τέχνας αὐτάς τε παρὰ τῶν ἐπισταμένων μαθητέον καὶ ὅπως αὐταῖς δεῖ χρῆσθαι «ἀσκητέον»· εἰ δὲ καὶ σώματι βούλει δυνατὸς εἶναι, τῇ γνώμῃ ὑπηρετεῖν ἐθιστέον τὸ σῶμα καὶ γυμναστέον πόνοις καὶ ἱδρῶτι. Ξενφ. Ἀπ. B, 1, 28.

2. Τῶν γε μὴν ἵππων ὑπαρχόντων οἵων δεῖ τοὺς ἱππέας αὖ «ἀσκητέον», πρῶτον μὲν ὅπως ἐπὶ τοὺς ἵππους ἀναπηδᾶν δύνωνται· Ξενοφ. Ἱππαρχ. 1, 5.

3. Ὥσπερ δὲ τῷ ἵππῳ σίτου τε καὶ γυμνασίων ἐπιμελητέον, ὅπως ἂν τὸ σῶμα ἰσχύῃ, οὕτω καὶ τοὺς πόδας «ἀσκητέον». Ξενοφ. Ἱππκ. 4, 3.

4. Εἰ δὲ ἔστιν ἀληθῆ, τὸν βουλόμενον, ὡς ἔοικεν εὐδαίμονα εἶναι σωφροσύνην μὲν διωκτέον καὶ «ἀσκητέον», ἀκολασίαν δὲ φευκτέον ὡς ἔχει ποδῶν ἕκαστος ἡμῶν, καὶ παρασκευαστέον μάλιστα μὲν μηδὲν δεῖσθαι τοῦ κολάζεσθαι, ἐὰν δὲ δεηθῇ ἢ αὐτὸς ἢ ἄλλος τις τῶν οἰκείων, ἢ ἰδιώτης ἢ πόλις, ἐπιθετέον δίκην καὶ κολαστέον, εἰ μέλλει εὐδαίμων εἶναι. Πλάτ. Γοργ. 63, 507, D.

5. Καί ποτε ὑμῶν ἐγὼ ἐπήκουσα βουλευμένων, μέχρι ὅποι τὴν σοφίαν «ἀσκητέον» εἴη. Πλάτ. Γοργ. 44, 487, C.

68. Πότερον ὅλον ἐστὶ τὸ γένος ἀσπαστόν, ἢ τοῦτο μὲν ἑτέρῳ τῶν προειρημένων δοτέον ἡμῖν γενῶν, ἡδονῇ δὲ καὶ λύπῃ, καθάπερ θερμῷ καὶ ψυχρῷ καὶ πᾶσι τοῖς τοιούτοις, τοτὲ μὲν «ἀσπαστέον» αὐτά, τοτὲ δὲ οὐκ ἀσπαστέον, ὡς ἀγαθὰ μὲν οὐκ ὄντα, ἐνίοτε δὲ καὶ ἔνια δεχόμενα τὴν τοῦ ἀγαθοῦ ἔστιν ὅτε φύσιν. Πλάτ. Φιλ. 18, 32, D.[2]

69, 1. Οὐ μὲν δὴ δωροδόκους γε ἐατέον εἶναι τοὺς ἄνδρας οὐδὲ φιλοχρημάτους. οὐδαμῶς. οὐδ' «ᾀστέον» αὐτοῖς ὅτι

δῶρα θεοὺς πείθει, δῶρ' αἰδοίους βασιλῆας·

οὐδὲ τὸν τοῦ Ἀχιλλέως παιδαγωγὸν Φοίνικα ἐπαινετέον, ὡς μετρίως ἔλεγε συμβουλεύων αὐτῷ δῶρα μὲν λαβόντι ἐπαμύνειν τοῖς Ἀχαιοῖς, ἄνευ δὲ δώρων μὴ ἀπαλλάττεσθαι τῆς μήνιος. Πλάτ. Πολ. Γ, 4, 390, E.

2. Ὥστ' εἰς ἐμαυτὸν καὶ τὸν υἱὸν τουτονὶ ἐπ' εὐτυχίαισιν «ᾀστέον» μούγκώμιον. Ἀριστφ. Νεφ. 1205.

70, 1. Ἀλλ' οὐδὲ μέντοι ταύτῃ γε «ἀτιμαστέον» τὸ κάλλος ὡς ταχὺ παρακμάζον, ἐπεὶ ὥσπερ γε παῖς γίγνεται καλός, οὕτω καὶ μειράκιον καὶ ἀνὴρ καὶ πρεσβύτης. Ξενοφ. Συμπ. 4, 17.

2. Σω. Πῶς φῄς; καλὸν πού τι ἂν εἴη, ὅ τούτων ἀπολειφθὲν ὅμως τέχνῃ λαμβάνεται; πάντως δ' οὐκ «ἀτιμαστέον» αὐτό σοι τε καὶ ἐμοί, λεκτέον δὲ τί μέντοι καὶ ἔστι τὸ λειπόμενον τῆς ῥητορικῆς. Πλάτ. Φρ. 50, 266, D.

71. Ἀλλ' εἰ μὲν ἡ φιλοσοφία τοιαύτην ἔχει δύναμιν ὥστε διαφθείρειν τοὺς νεωτέρους, οὐ τοῦτον χρὴ μόνον κολάζειν, ὃν ἂν γράψηταί τις τούτων, ἀλλὰ πάντας ἐκποδὼν ποιεῖσθαι τοὺς περὶ τὴν διατριβὴν ταύτην ὄντας· εἰ δὲ τοὐναντίον πέφυκεν ὥστ' ὠφελεῖν καὶ βελτίους ποιεῖν τοὺς πλησιάζοντας καὶ πλείονος ἀξίους, τοὺς μὲν διαβεβλημένους πρὸς αὐτὴν παυστέον, τοὺς δὲ συκοφαντοῦντας «ἀτιμητέον», τοῖς δὲ νεωτέροις συμβουλευτέον ἐν ταύτῃ διατρίβειν μᾶλλον ἢ τοῖς ἄλλοις ἐπιτηδεύμασιν. Ἰσοκρ. 15, 175.

72, 1. Τοῦ μὲν οὖν θώρακος τὸ κωλῦον ταύτῃ «ἀφαιρετέον»· Ξενοφ. Ἱππκ. 12, 6.

2. Ὃν ἀπὸ τῶν ὄντως ὄντων πολιτικῶν καὶ βασιλικῶν καίπερ χαλεπὸν ὄντα ἀφαιρεῖν «ἀφαιρετέον», εἰ μέλλομεν ἰδεῖν ἐναργῶς τὸ ζητούμενον. Πλάτ. Πολ. 30, 291, C.

3. Δεῖ γὰρ ἰδεῖν αὐτήν, ἵνα θεασώμεθα τίνας «ἀφαιρετέον» ἀπὸ τοῦ φρονίμου βασιλέως, οἳ προσποιοῦνται μὲν εἶναι πολιτικοὶ καὶ πείθουσι πολλούς, εἰσὶ δὲ οὐδαμῶς. Πλάτ. Πολ. 32, 292, D.

4. Ξε. Οὐκοῦν δὴ καὶ τοὺς κοινωνοὺς τούτων τῶν πολιτειῶν πασῶν πλὴν τῆς ἐπιστήμονος «ἀφαιρετέον» ὡς οὐκ ὄντας πολιτικοὺς ἀλλὰ στασιαστικούς, Πλάτ. Πολ. 41, 303, C.

5. Δοτέον οὖν τῷ τελέως ἀδίκῳ τὴν τελεωτάτην ἀδικίαν, καὶ οὐκ «ἀφαιρετέον», ἀλλ' ἐατέον τὰ μέγιστα ἀδικοῦντα τὴν μεγίστην δόξαν αὐτῷ παρεσκευακέναι εἰς δικαιοσύνην, Πλάτ. Πολ. Β, 4, 361.

6. Τοῦτον δὲ τοιοῦτον θέντες τὸν δίκαιον παρ' αὐτὸν ἱστῶμεν τῷ λόγῳ, ἄνδρα ἁπλοῦν καὶ γενναῖον, κατ' Αἰσχύλον οὐ δοκεῖν ἀλλ' εἶναι ἀγαθὸν ἐθέλοντα. «ἀφαιρετέον» δὴ τὸ δοκεῖν. Πλάτ. Πολ. Β. 4, 361, Β.

7. Τοῦτο ἀπὸ τῶν ὀκτὼ ταλάντων καὶ τοῦ προσόντος «ἀφαιρετέον» ἐςίν. Δημ. 27, 36.

73, 1. Εἰ μὲν γὰρ σὺν τοῖς ὀρθῶς, δῆλον ὅτι «ἀφεκτέον» εἴη τοῦ ὀρθῶς λέγειν· εἰ δὲ σὺν τοῖς μὴ ὀρθῶς δῆλον ὅτι πειρατέον ὀρθῶς λέγειν. Ξενοφ. Ἀπ. Α, 2, 34.

2. Οὐκοῦν τοῦ μὲν ὑπὸ τούτων ἀρχομένου «ἀφεκτέον» δοκεῖ σοι εἶναι; Ξενοφ. Ἀπ. Β. 6, 1.

3. Οὐκοῦν «ἀφεκτέον» καὶ τούτου; Ἀφεκτέον μέντοι ἔφη. Ξενοφ. Ἀπ. Β, 6, 2.[2]

4. «Ἀφεκτέον» καὶ τούτου, ὡς ἐμοὶ δοκεῖ· ἀνωφελὴς γὰρ ἂν εἴη τῷ χρωμένῳ. Ξενοφ. Ἀπ. Β, 6, 4.

5. Οὗ ἕνεκα «ἀφεκτέον» ἐγώ φημι εἶναι φιλημάτων ὡραίων τῷ σωφρονεῖν δυνησομένῳ. Ξενοφ. Συμπ. 4, 26.

6. Μέθης μὲν δὴ εἴπομεν ὅτι «ἀφεκτέον» αὐτοῖς· παντὶ γάρ. . . Πλάτ. Πολ. Γ, 13, 403, Ε.

7. Οὐδὲ μὴν ἡδυσμάτων, ὡς ἐγῷμαι, Ὅμηρος πώποτε ἐμνήσθη· ἢ τοῦτο μὲν καὶ οἱ ἄλλοι ἀσκηταὶ ἴσασιν, ὅτι τῷ μέλλοντι σώματι εὖ ἕξειν «ἀφεκτέον» τῶν τοιούτων ἁπάντων; Πλάτ. Πολ. Γ. 13, 404, C.

8. Τοιούτων οὖν παραδειγμάτων ὑπαρχόντων δέδεικται τοῖς ἐπιθυμοῦσι τοὺς ἀκροωμένους ψυχαγωγεῖν, ὅτι τοῦ μὲν νουθετεῖν καὶ συμβουλεύειν «ἀφεκτέον», τὰ δὲ τοιαῦτα λεκτέον, οἷς ὁρῶσι τοὺς ὄχλους μάλιστα χαίροντας. Ἰσοκρ. 2, 49.

74, 1. Πάντων δὴ ἕνεκα τούτων οὐκ «ἀφετέον» τὸ μάθημα, ἀλλ' οἱ ἄριστοι τὰς φύσεις παιδευτέοι ἐν αὐτῷ. Πλάτ. Πολ. Ζ, 8, 526, C.

2. Μὰ Δία, ἦν δ' ἐγώ, ὦ φίλε Ἀδείμαντε, οὐκ ἄρα «ἀφετέον» οὐδ' εἰ μακροτέρα τυγχάνει οὖσα. Πλάτ. Πολ. 16, 376, D.

3. Σω. Ὥρα δὴ βουλεύεσθαι νῷν καὶ περὶ τῶν ἡδονῶν, πότερα καὶ ταύτας πάσας ἀθρόας «ἀφετέον» ἢ καὶ τούτων πρώτας μεθετέον ἡμῖν ὅσαι ἀληθεῖς. Πλάτ. Φιλ. 39, 62, Ε.

4. Σω. Οὔτοι ἀπόβλητον ἔπος εἶναι δεῖ, ὦ Φαῖδρε, ὃ ἂν εἴπωσι σοφοί, ἀλλὰ σκοπεῖν μή τι λέγωσι· καὶ δὴ καὶ τὸ νῦν λεχθὲν οὐκ «ἀφετέον». Πλάτ, Φρ. 42, 260.

5. Με. Ὦ φίλε Κλεινία, ἐκ τῶν νῦν ἡμῖν εἰρημένων ἁπάντων, ἢ τὴν πόλιν ἐατέον τῆς κατοικίσεως ἢ τὸν ξένον τόνδε οὐκ «ἀφετέον», ἀλλὰ δεήσεσι καὶ μηχαναῖς πάσαις κοινωνὸν ποιητέον ἐπὶ τὴν τῆς πόλεως κατοίκισιν. Πλάτ. Νομ. ΙΒ, 14, 969, C.

6. Ὥστε μοι δοκεῖ πολλὰ λίαν εἶναι τὰ παρακελευόμενα πολεμεῖν αὐτοῖς, μάλιστα δ' ὁ παρὼν καιρός, οὗ σαφέστερον οὐδέν. ὃν οὐκ «ἀφετέον»· Ἰσοκρ. 4, 160.

7. Λοιποὶ δ' ἡμῖν εἰσιν οἱ πρὸ ἡμῶν γενόμενοι καὶ τὰς καλουμένας τέχνας γράψαι τολμήσαντες, οὓς οὐκ «ἀφετέον» ἀνεπιτιμήτους· Ἰσοκρ. 13, 19.

75, 1. Ὀρ. Πόλλ' ἀντιφωνεῖς, ἡ δ' ὁδὸς βραδύνεται. ἀλλ' ἕρφ'. Αἰγ. ὑφηγοῦ. Ὀρ. σοὶ «βαδιστέον» πάρος. Σοφ. Ἠλ. 1502

2. Ὡς ἐμοῦ γε τὼ ξύλω τὸν ὦμον ἐξιπώκατον· ἀλλ' ὅμως «βαδιστέον», καὶ τὸ πῦρ φυσητέον, μή μ' ἀποσβεσθὲν λάθῃ πρὸς τῇ τελευτῇ τῆς ὁδοῦ. Ἀριστοφ. Λυσ. 292.

3. Αἰα. «Βαδιστέον» τἄρ' ἐστὶν ἐπὶ τονδὶ πάλιν. Ξαν. Οἴμοι. Αἰα. τί ἔστι; Ξαν. τὴν ἄκανθαν ἔξελε. Αἰα. τί τὸ πρᾶγμα τουτί; δεῦρο πάλιν «βαδιστέον». Ἀριστοφ. Βατρ. 656, 658.

4. Αἰα. ἄνθρωπος ἱερός. δεῦρο πάλιν «βαδιστέον». Ἀριστοφ. Βατρχ. 652.

5. Ὀρθῶς ἔμοι γε φαίνεται· «βαδιστέον» ὁμόσ' ἐστὶ δειπνήσοντα κοὐ μελλητέον. Ἀριστ. Ἐκκλ. 875.

76, 1. Οὐ γὰρ ἔτ' ἀνεκτὰ ταῦτ', ἀλλὰ «βασανιστέον» τόδε σοι τὸ πάθος μετ' ἐμοῦ 'σθ' ὅ,τι βουλόμεναί ποτε τὴν Κραναὰν κατέλαβον, Ἀριστοφ. Λυσιστρ. 478.

2. «Βασανιστέον» δὴ ἔν τε οἷς τότε ἐλέγομεν πόνοις τε καὶ φόβοις καὶ ἡδοναῖς, καὶ ἔτι δὴ ὃ τότε παρεῖμεν νῦν λέγομεν, ὅτι... Πλάτ. Πολ. Ϛ', 15, 503, Ε.

3, Καὶ σκοπεῖθ' ὡς δικαίως τ' ὤφληκε καὶ οὐδὲν ἦν Μιλύαν περὶ τούτων «βασανιστέον». Δημ. 29, 35.

77. Σώζει γὰρ αὐτὸν ὅστις εὐτυχῆ θεῶν τίθησιν· ἡμῖν δ' οὐ «βιαστέον» τύχην. Εὐριπ. Ῥῆσ. 584.

78, 1. Καὶ ἀκολάστων μὲν πασῶν οὐσῶν ἐν δημοκρατίᾳ νικᾷ ζῆν, κοσμίων δ' οὐσῶν ἥκιστ' ἐν ταύτῃ «βιωτέον». Πλάτ. Πολ. 41, 403. Β.

2. Δέομαι οὖν ἐγὼ σοῦ μηδενὶ τρόπῳ ἀνεῖναι, ἵνα τῷ ὄντι κατάδηλον γένηται πως «βιωτέον». Πλάτ. Γοργ. 47, 492, D.

3. Εἰ ἔστι τούτῳ διττὼ τὼ βίω, σκέψασθαι, τί τε διαφέρετον ἀλλήλοιν καὶ ὁπότερον «βιωτέον» αὐτοῖν. Πλάτ. Γοργ. 55, 500, D.

4. Εἰ δὲ τις ἄρα ἐν τῷ τοῦ σώματος τιμιωτέρῳ, τῇ ψυχῇ, πολλὰ νοσήματα ἔχει καὶ ἀνίατα, τούτῳ δὲ «βιωτέον» ἐστὶ καὶ τοῦτον ὀνήσειεν, Πλάτ. Γοργ. 67, 512.

5. Ἡμέρας δὲ ὄρθρου τε ἐπανιόντων παῖδας μὲν πρὸς διδασκάλους που τρέπεσθαι χρεών, ἄνευ ποιμένος δὲ οὔτε πρόβατα οὔτ' ἄλλο οὐδὲν πω «βιωτέον», οὐδὲ δὴ παῖδας ἄνευ τινῶν παιδαγωγῶν οὐδὲ δούλους ἄνευ δεσποτῶν. Πλάτ. Νομ. Ζ. 14, 808, D.

79, 1. Σω. Καὶ μετὰ τοῦτο ἤδη τῆς ψυχῆς ἐπιμελητέον καὶ εἰς τοῦτο «βλεπτέον». Πλάτ. Ἀλκβ. 27, 132, C.

2. Σω. Ἆρ' οὖν, ὦ φίλε Ἀλκιβιάδη, καὶ ψυχὴ εἰ μέλλει γνώσεσθαι αὐτήν, εἰς ψυχὴν αὐτῇ «βλεπτέον», Πλάτ. Ἀλκβ. 28, 133, Β.

3. Σω. Ὀφθαλμὸς ἄρα εἰ μέλλει ἰδεῖν ἑαυτόν, εἰς ὀφθαλμὸν αὐτὸν «βλεπτέον». Πλάτ. Ἀλκβ. 28, 133. Β.

4. Σχεδὸν γαρ, ὦ φίλοι, οὔτ' εἴ τίς τῳ δίδωσί τι τῶν ὄντων οὔτ' εἰ τοὐναντίον ἀφαιρεῖται, δίκαιον ἁπλῶς ἢ ἄδικον χρὴ τὸ τοιοῦτον οὕτω λέγειν, ἀλλ' ἐὰν ἤθει καὶ δικαίῳ τρόπῳ χρώμενος τις ὠφελῇ τινά τι καὶ βλάπτῃ, τοῦτό ἐστι τῷ νομοθέτῃ θεατέον, καὶ πρὸς δύο ταῦτα δὴ «βλεπτέον», πρός τε ἀδικίαν καὶ βλάβην, καὶ τὸ μὲν ἀβλαβὲς (ὑγιὲς) τοῖς νόμοις εἰς τὸ δυνατὸν ποιητέον, τό τε ἀπολόμενον σώζοντα καὶ τὸ πεσὸν ὑπὸ τοῦ πάλιν ἐξορθοῦντα καὶ τὸ θανατωθὲν ἢ τρωθὲν ὑγιές, τὸ δὲ ἀποίνοις ἐξιλασθὲν τοῖς δρῶσι καὶ πάσχουσιν ἑκάστας τῶν βλάψεων ἐκ διαφορᾶς εἰς φιλίαν πειρατέον ἀεὶ καθιστάναι τοῖς νόμοις. Πλάτ. Πλάτ. Νομ. Θ, 6, 862, C.

5. Τοῦτο, ὦ φίλοι, εἰ μὲν βουλόμεθα, τὰ νῦν οἷόνπερ σφόδρα πιέσαντες μὴ ἀνῶμεν, πρὶν ἂν ἱκανῶς εἴπωμεν, τίποτ' ἔστιν εἰς ὃ «βλεπτέον», εἴτε

ὡς ἓν εἴτε ὡς ὅλον εἴτε ἀμφότερα εἴτε ὅπως ποτε πέφυκεν· Πλάτ. Νομ. ΙΒ, 12, 965, D.

80, 1. Μετὰ δὲ ταῦτα τοῖς Λακεδαιμονίοις ἐδόκει «βοηθητέον» εἶναι κατὰ τοὺς ὅρκους τοῖς τεθνεῶσί τε τῶν Τεγεατῶν καὶ ἐκπεπτωκόσι· Ξενοφ. Ἑλ. 6, 5, 10.

2. Φημὶ δὴ διχῇ «βοηθητέον» εἶναι τοῖς πράγμασιν ὑμῖν, τῷ τε ..... Δημ. 1, 17.

3. Καὶ μὴν πάντες ἐπίστασθε ὡς καὶ παραινούντων τούτων καὶ μὴ «βοηθητέον», καὶ διὰ τούς... Δημ. 16, 9.

81. Πατ. ἀπέλαυσά τἄρ᾿ ἂν νὴ Δί᾿ ἐλθὼν ἐνθαδί, εἴπερ γε μοι καὶ τὸν πατέρα «βοσκητέον». Ἀριστφ. Ὀρν. 1359.

82, 1. Τὰ δ᾿ ἄλλα πρὸς πόλιν τε καὶ θεοὺς κοινοὺς ἀγῶνας θέντες ἐν πανηγύρει βουλευσόμεσθα. καὶ τὸ μὲν καλῶς ἔχον ὅπως χρονίζον εὖ μενεῖ «βουλευτέον». Αἰσχύλ. Ἀγ. 847.

2. Νῦν, οὖν, Ὀρέστα καὶ σὺ φίλτατε ξένων Πυλάδη, τί χρὴ δρᾶν ἐν τάχει «βουλευτέον». Σοφ. Ἠλ. 16.

3. Οὕτως οὖν ἡμῖν ἀμφοτέροις «βουλευτέον» ὅπως.... Ξενφ. ΚΠ. Δ. 5, 24.

4. Ὃ μὲν δὴ τυγχάνει ὂν περὶ οὗ «βουλευτέον» εἴρηταί τε καὶ ὥρισται, Πλάτ. Φρ. 15, 238, D.

5. Δηλῶσαι δὲ περὶ τοῦ παντὸς ὡς οὐ ταχέως αὐτοῖς «βουλευτέον» εἴη, ἀλλ᾿ ἐν πλείονι σκεπτέον. Θουκ. 1, 72. ἴδε καὶ 10, 36.

6. Περὶ δὲ ὧν ὑμῖν τε «βουλευτέον», καὶ ἐμοί, εἴ τι πλέον οἶδα, εἰσηγητέον, μάθετε ἤδη. Θουκ. 6, 90.

7. Οὐ γὰρ ὑπὲρ Ροδίων «βουλευτέον», ὅταν ἀντιποιῆται, μόνον, ἀλλ᾿ ὑπὲρ ὑμῶν αὐτῶν καὶ τῶν πάντων Ἑλλήνων. Δημ. 15, 13.

8. Τῷ γὰρ κατὰ νόμον εἰσποιηθέντι ἐπὶ τὰ ἑτέρου οὐχ οὕτως, ὡς περὶ τῶν ἰδίων κτημάτων, «βουλευτέον» ἐστίν, ἀλλὰ τοῖς νόμοις ἀκολούθως, περὶ ἑκάστου τῶν γεγραμμένων ὡς ὁ νόμος λέγει. Δημ. 44, 67.

9. Περὶ γὰρ τῶν αὐτῶν οὐχ ὁμοίως ἅπασι «βουλευτέον», ἀλλ᾿ ὡς ἂν ἐξ ἀρχῆς ἕκαστοι τοῦ βίου ποιήσωνται τὴν ὑπόθεσιν. Ἰσοκρ. 6, 90.

83. Ἀναξιφόρμιγγες ὕμνοι, τίνα θεόν, τίν᾿ ἥρωα, τίνα δ᾿ ἄνδρα κελαδήσομεν; ἤτοι Πίσα μὲν Διός· Ὀλυμπιάδα δ᾿ ἔστασεν Ἡρακλέης ἀκρόθινα πολέμου· Θήρωνα δὲ τετραορίας ἕνεκα νικαφόρου «γεγωνητέον», ὄπιν δίκαιον ξένων, Πίνδ. Ὀλυμπ. Β, 6.

84. Καὶ ἐὰν που ἀσφαλὲς ᾖ, προσακτέον ἐγγὺς καὶ «γευστέον» αἵματος, ὥσπερ τοὺς σκύλακας; Πλάτ. Πολ. Ζ, 16, 537.

85, 1. «Γνωστέον» μὲν γὰρ καὶ μαινομένους καὶ πονηροὺς ἄνδρας καὶ γυναῖκας, ποιητέον δὲ οὐδὲν τούτων οὐδὲ μιμητέον. Πλάτ. Πολ. Γ, 8, 396.

2. Ἀθ. Τί δαὶ δή; περὶ καλοῦ τε καὶ ἀγαθοῦ ταὐτὸν τοῦτο διανοούμεθα; ὡς πόλλ᾿ ἔστι μόνον ἕκαστον τούτων, τοὺς φύλακας ἡμῖν «γνωστέον», ἢ καὶ ὅπως ἕν τε καὶ ὅπῃ; Πλάτ. Νομ. ΙΒ, 13, 966.

3. Ὅτι δὲ κακῶν οὐδενός, εὖ τοῦτο «γνωστέον», ὃ καὶ τάχα γένοιτ᾿ ἄν, Πλάτ. Ἐπιν. 3, 978.

86. Ὅπως γε μὴν δεῖ πωλεύειν δοκεῖ ἡμῖν μὴ «γραπτέον» εἶναι. Ξενοφ. Ἱππ. 2, 1.

87, 1. «Γυμναστέον» ἴδε 2, 67.

2. Σω. Ταύτῃ ἄρα αὐτῷ πρακτέον καὶ «γυμναστέον» καὶ ἐδεστέον γε καὶ ποτέον, ᾗ ἂν τῷ ἑνὶ δοκῇ τῷ ἐπιστάτῃ καὶ ἐπαΐοντι, μᾶλλον ἢ ᾗ ξύμπασι τοῖς ἄλλοις. Πλάτ. Κρίτ. 7, 47, Β.

3. Τούτων δὲ ταύτῃ σχεδὸν ἐχόντων οὐκ ἐν πολέμῳ τὸν πόλεμον ἑκάστοις «γυμναστέον», ἀλλ' ἐν τῷ τῆς εἰρήνης βίῳ. Πλάτ. Νομ. Η, 1, 829.

88, 1. Ἐπεὶ δὲ τοῦ μετ' ἀρετῆς πρωτεύειν αὐτοὺς ἐπιμέλεσθαι βουλόμεθα, τοῦτ' αὖ «δεικτέον» ἐκ παλαιοῦ μάλιστα προσῆκον αὐτοῖς, καὶ ὡς τούτου ἐπιμελόμενοι πάντων ἂν εἶεν κράτιστοι. Ξενοφ. Ἀπ. 3, 5, 8.

2. Τῷ δὲ ἀπολογουμένῳ τοὐναντίον τούτου «δεικτέον» ἐςίν. Αἰσχίν. 3,50.

3. Πολλὴν δὴ τὴν μετάστασιν καὶ μεγάλην «δεικτέον» τὴν μεταβολήν, εἰσφέροντας, ἐξιόντας, ἅπαντα ποιοῦντας ἑτοίμως, εἴπερ τις ὑμῖν προσέξει τὸν νοῦν. Δημ. 2, 13.

4. Ἔτι μέντοι καὶ τοὺς νόμους «δεικτέον» εἶναί μοι δοκεῖ, Δημ. 18, 58.

89, 1. Τότε μὲν γὰρ δύο εἴδη διειλόμεθα, νῦν δὲ τρίτον ἄλλο γένος ἡμῖν «δηλωτέον». Πλάτ. Τιμ. 18, 48, Ε.

2. Καὶ δὴ καὶ περὶ τοῦδε, ὃ τούτου τιμιώτερόν τ' ἐστὶ καὶ θειότερον, καὶ μάλα σφόδρ' αὐτῷ «δηλωτέον», ὑπὲρ οὗ πέπομφας ἀπορούμενος. Πλάτ. Ἐπιστλ. Β, 312, D.

3. Τὰ τοίνυν πρὸς τοὺς βαρβάρους ὡς ἑκάτεροι προσηνέχθησαν, «δηλωτέον»· Ἰσοκρ. 12, 59.

4. Ἃ δ' οὖν μοι νῦν ἐπελήλυθε, καὶ περὶ ὧν ἐγὼ μὲν ἐνόμιζον εἶναι «δηλωτέον», Ἰσοκρ. 15, 140.

90, 1. Προϊόντες δέ, ἐπεὶ ἐγένοντο οἱ ἡγούμενοι ἐπὶ νάπει μεγάλῳ καὶ δυσπόρῳ, ἔστησαν ἀγνοοῦντες εἰ «διαβατέον» εἴη τὸ νάπος. Ξενοφ. ΚΑ. 6, 5, 12.

2. Ἐπεὶ δὲ συνῆλθον, λέγει Σοφαίνετος πρεσβύτερος ὢν τῶν στρατηγῶν ὅτι βουλῆς οὐκ ἄξιον εἴη εἰ «διαβατέον» ἐστὶ τοιοῦτον νάπος. Ξενοφ. ΚΑ. 6, 5, 13. ἰδὲ καὶ 18.

91. Τίς οὖν ὀρθότης; παίζοντα ἐστὶ «διαβιωτέον» τινὰς δὴ παιδιὰς θύοντα καὶ ᾄδοντα καὶ ὀρχούμενον, ὥστε... Πλάτ. Νομ. Ζ, 10, 803, Ε.

92. Σω. Καὶ μὴν ὅτι γε τὰ μὲν τῶν ἀγαθῶν θρεπτέον ἔφαμεν εἶναι, τὰ δὲ τῶν κακῶν εἰς τὴν ἄλλην λάθρα «διαδοτέον» πάλιν· Πλάτ. Τιμ. 1, 19.

93. Σω. Ἔτι τοίνυν πρὸς τούτοις μετὰ ταῦτα τόδε αὐτῶν «διαθεατέον». Πλάτ. Φιλ. 32, 52, D.

2. Ἀλλ' οἷόν ἐστι καθαρὸν γιγνόμενον, τοιοῦτον ἱκανῶς λογισμῷ «διαθεατέον», καὶ πολὺ κάλλιον αὐτὸ εὑρήσει καὶ ἐναργέστερον δικαιοσύνας τε καὶ ἀδικίας διόψεται καὶ πάντα ἃ νῦν διήλθομεν. Πλάτ. Πολ. Ι. 11, 611, C.

94, 1. Ξε. Νῦν δὲ γ' ἐπειδὴ μιμητικὴ περιείληφεν αὐτὸν τέχνη, δῆλον ὡς αὐτὴν τὴν ποιητικὴν δίχα «διαιρετέον» πρώτην. Πλάτ. Σοφ. 48, 265.

2. Ὅθεν ἐρωτηθεὶς σὺ τὴν ἀγελαιοτροφίαν ὅπῃ «διαιρετέον» εἶπες μάλα προθύμως δύ' εἶναι ζώων γένη, Πλάτ. Πολ. 7, 263, C.

3. Ξε. Τὸ συγκριτικὸν τοίνυν αὖ σοι καὶ ταλασιουργικὸν ἅμα μόριον, ὦ Σώκρατες, «διαιρετέον», εἴπερ ἱκανῶς μέλλομεν τὴν προρρηθεῖσαν ὑφαντικὴν αἱρήσειν. Πλάτ. Πολ. 23, 282, D.

4. Λοιπαὶ δέ, φαμέν, αἱ κατὰ πόλιν αὐτὴν τῶν τε ξυναιτίων καὶ τῶν αἰτίων, ἃς πρώτας ἀπ' ἀλλήλων «διαιρετέον». Πλάτ. Πολ. 27, 287, Β.

5. Βουλεύου δὴ πρὸς ταῦτα αὐτός, πότερον ἡδονῆς εἴδη σοι καὶ ἐπιστήμης «διαιρετέον» ἢ καὶ ἐατέον, εἴ πῃ καθ' ἕτερόν τινα τρόπον οἷός τ' εἶ καὶ βούλει δηλῶσαί πως ἄλλως τὰ νῦν ἀμφισβητούμενα παρ' ἡμῖν. Πλάτ. Φιλ. 9, 20.

6. Σω. Τοῦτο τοίνυν ἔτι «διαιρετέον», ὦ Πρώταρχε, δίχα, εἰ μέλλομεν τὸν παιδικὸν ἰδόντες φθόνον ἄτοπον ἡδονῆς καὶ λύπης ὄψεσθαι μῖξιν. Πλάτ. Φιλ. 29, 49. ἰδὲ καὶ κατωτέρω.

7. Εἶεν, ἦν δ' ἐγώ· τὸ δὴ μετὰ τοῦτο τί ἂν ἡμῖν «διαιρετέον» εἴη; Πλάτ. Πολ. Γ, 19, 412, Β.

8. Ἔστιν οὖν δὴ κατ' ἐμὴν δόξαν πρῶτον «διαιρετέον» τάδε· Πλάτ. Τιμ. 5, 27, Ε.

9. Μετὰ δὲ τοῦτο τὴν διανομὴν τῶν πολιτῶν, καθ' ὁπόσα μέρη πλήθει καὶ ὁπηλίκα «διαιρετέον» αὐτούς, ἀνομολογητέον. Πλάτ. Νομ. Ε, 8, 737, C.

10. Τὰ δὴ τραύματα, καθάπερ οἱ φόνοι διῄρηντο, «διαιρετέον», Πλάτ. Νομ. Θ, 13, 874, Ε.

95. Μετὰ δὲ ταῦτα τὰς ἄλλας προστάξεις τοῖς πολίταις εἰς ταῦτα βλεπούσας αὐτοῖς εἶναι «διακελευστέον», Πλάτ. Νομ. Α, 6, 631, D.

96. Τό γε μὴν εἰκὸς ἡμῖν εἰρῆσθαι καὶ νῦν καὶ ἔτ' μᾶλλον ἀνασκοποῦσι «διακινδυνευτέον» τὸ φάναι, καὶ πεφάσθω. Πλάτ. Τιμ. 33, 72, D.

97. «Διακωλυτέον» ἰδὲ 1, 7, 3.

98, 1. Μηδενός σοι, ἔφη, μελέτω, ὦ Σώκρατες, ἀλλ' ἴθι διαλέγου αὐτῷ. «Διαλεκτέον», ἦν δ' ἐγώ. Πλάτ. Λυσ. 211, C.

2. Δοκεῖ δέ μοι μετὰ ταῦτα περὶ τῆς παρασκευῆς «διαλεκτέον» εἶναι τῆς τε σοι γενησομένης καὶ τῆς ἐκείνοις ὑπαρξάσης. Ἰσοκρ. 5, 95.

3. Ἡγοῦμαι δὲ ταῦτα μὲν ἑτέροις πολὺ πλείους λόγους παρέξειν τῶν νῦν εἰρημένων, ἐμοὶ δ' οὐκέτι περὶ ἁπασῶν αὐτῶν εἶναι «διαλεκτέον» ἀλλὰ περὶ μόνης τῆς τῶν προγόνων· Ἰσοκρ. 12, 134.

4. Πρὸς δὲ τούτοις κἀκεῖνο πᾶσι φανερόν, ὅτι τοῖς μὲν ἐπιδείξεως δεομένοις αἱ πανηγύρεις ἁρμόττουσιν, ἐκεῖ γὰρ ἄν τις ἐν πλείστοις τὴν αὑτοῦ δύναμιν διασπείρειεν, τοῖς δὲ διαπράξασθαί τι βουλομένοις πρὸς τοῦτον «διαλεκτέον», ὅστις τάχιστα μέλλει τὰς πράξεις ἐπιτελεῖν τὰς ὑπὸ τοῦ λόγου δηλωθείσας. Ἰσοκρ. Ἐπιστλ. 1, 6.

99, 1. Ξε. Τὰς ἐπιστήμας ἆρα «διαληπτέον», ὥσπερ ἡνίκα τὸν πρότερον ἐσκοποῦμεν; Πλάτ. Πολ. 2, 258, Β.

2. Σω. Τὰς τοίνυν ἡγεμονικὰς «διαληπτέον» ἑκάστων αὐτῶν χωρίς; Πλάτ. Φιλ. 34, 55, D.

100. Ἀλλ' εἰ μὲν ὅτι ἐδεήθησαν κολάσεως λέγοιεν, ὡς ἄθλιοι οἱ κακοί, διδόντες δὲ δίκην ὠφελοῦντο ὑπὸ τοῦ θεοῦ, ἐατέον· κακῶν δὲ αἴτιον φάναι θεόν τινι γίγνεσθαι ἀγαθὸν ὄντα, «διαμαχετέον» παντὶ τρόπῳ μήτε τινὰ λέγειν ταῦτα ἐν τῇ αὑτοῦ πόλει, εἰ μέλλει εὐνομήσεσθαι, Πλάτ. Πολ. Β. 19, 380. Β.

100 [1] Θεαιτ. Φαίνεται (τὸ τοιοῦτον «διαμαχητέον» ἐν τοῖς λόγοις.) Πλάτ. Σοφ. 29, 241, D.

101. «Διανεμητέον» ἰδὲ 2, 48.

102, 1. Ξε. Ἀλλ' ἆρα τὸ ὂν καὶ τὸ ταὐτὸν ὡς ἕν τι «διανοητέον» ἡμῖν; Πλάτ. Σοφ. 40. 255, Β. ἰδὲ καὶ C.

2. Ξε. Τί δὲ περὶ τῆς τοιᾶσδ' αὖ δυνάμεως «διανοητέον»; Πλάτ. Πολ. 43, 304, Ε.

3. Τόδε γε μὴν ἕν τι διανοητέον» περὶ πάντων αὐτῶν, ὡς ἡ μὲν πρὸς τὸ ξυγγενὲς ὁδὸς ἑκάστοις οὖσα βαρὺ μὲν τὸ φερόμενον ποιεῖ, Πλάτ. Τιμ. 26, 63, Ε.

4. Ταὐτὸν δὴ καὶ περὶ τῆς παρ' ἡμῖν κοιλίας «διανοητέον», ὅτι σιτία μὲν καὶ ποτὰ ὅταν εἰς αὐτὴν ἐμπέσῃ στέγει, Πλάτ. Τίμ. 35, 78.

5. Ταὐτὸν δὴ «διανοητέον» καὶ περὶ τοῦ ξυναμφοτέρου», ζῶον ὃ καλοῦμεν, ὡς ὅταν . . . Πλάτ. 42, 87, Ε.

6. 'Αθ. Αὐτῷ δὲ πρὸς αὐτὸν πότερον ὡς πολεμίῳ πρὸς πολέμιον «διανοητέον» ἢ πῶς; τί λέγομεν; Πλάτ. Νομ. Α, 8, 626, D.

7. 'Αθ. Καὶ τῆς περὶ τὸν οἶνον ἄρα διατριβῆς (ὡσαύτως «διανοητέον»), εἴπερ ἔνι τοῦτο ἐν τούτοις ὀρθῶς διανοηθῆναι. Πλάτ. Νομ. Α, 14, 646, D.

8. Πρὸς δ' αὖ τοὺς ξένους «διανοητέον» ὡς ἁγιώτατα ξυμβόλαια ὄντα· Πλάτ. Νομ. Ε. 2, 729, Ε.

9. Ταὐτὰ δὲ περὶ νοσώδους τε καὶ ὑγιεινοῦ βίου «διανοητέον», ὡς . . . . Πλάτ. Νομ. Ε, 6, 734, Β.

104. 'Αθ. Τί δὴ τὸ μετὰ ταῦτα; ἆρ' οὐχ ἥκοντας μὲν καὶ παρόντας θῶμεν τοὺς ἐποίκους, τὸν δ' ἑξῆς αὐτοῖς «διαπεραντέον» ἂν εἴη λόγον; Πλάτ. Νόμ. Δ, 7, 715, Ε.

105. Ὅτι τοῦτο πρῶτον δεῖ σκέψασθαι, τί τῷ λόγῳ καὶ τοῖς τοῦ λόγου μέρεσι «διαπρακτέον» ἐστίν· Ἰσοκρ. Ἐπιστλ. 6, 8.

106, 1. Λόγῳ δὴ μᾶλλον τὸ τοιόνδε διοριζομένους περὶ αὐτῶν «διασκεπτέον»· Πλάτ. Τιμ. 18, 51, Β.

2. 'Αθ. «Διασκεπτέον» ἄρα πρῶτον, ὥσπερ ἐπεχειρήσαμεν, ἀκριβῶς περὶ τῶν τε ἱεροσυλούντων καὶ κλοπῆς πάσης πέρι καὶ ἀδικημάτων ξυμπάντων, καὶ οὐ δυσχεραντέον, εἰ μεταξὺ νομοθετοῦντες τὰ μὲν ἔθεμεν, τῶν δ' ἔτι διασκοποῦμεν πέρι· Πλάτ. Νομ. Θ, 5, 859, Β.

107. Μετὰ ταῦτα ἐδόκει πάλιν «διασκηνητέον» εἶναι (εἰς τὰς κώμας) εἰς στέγας. Ξενοφ. ΚΑ, 4, 4, 14.

108. Τοῦτ' οὖν «διασωστέον», ὅπως ἂν αὐξάνηται ἀεὶ ἡμῖν ἡ ἀπ' ἀλλήλων ὠφέλεια. Πλάτ. Ἐπιστλ. ΙΓ. 360, Β.

109, 1. 'Αλλὰ δοκεῖ μοι, οἵτινες βούλονται, ἣν ἂν ποιήσωνται φιλίαν, ταύτην ὡς πλεῖστον χρόνον διανέμειν, «διδακτέον» εἶναι ἀλλήλους τὰ αἴτια τῶν πολέμων. Ξενοφ. Ἑλ. 6, 3, 7.

2. Τὰ γὰρ περὶ τὸν πόλεμον πάντα ἐπίστασθον, ὅσα δεῖ τὸν μέλλοντα στρατηγὸν ἔσεσθαι, τάς τε τάξεις καὶ τὰς ἡγεμονίας τῶν στρατοπέδων καὶ ὅσα ἐν ὅπλοις μάχεσθαι «διδακτέον»· Πλάτ. Εὐθυδ. 2, 273, C.

3. Εἰ ἄρα ταῖς γυναιξὶν ἐπὶ ταὐτὰ χρησόμεθα καὶ τοῖς ἀνδράσι, ταὐτὰ καὶ «διδακτέον» αὐτάς. Πλάτ. Πολ. Ε, 3, 451, Ε.

4. Ἐν πᾶσι τοῖς τοιούτοις τῆς ἑκάστων διαθέσεως «διδακτέον» καὶ οριστέον τό τε καλὸν καὶ μή. Πλάτ. Νομ. Α, 6, 632.

110, 1. Περὶ δὲ τῶν νῦν προτεθέντων δεῖ διελθεῖν ἀκριβέστερον, τὰ δὲ πρὸ τούτων περὶ σωμάτων κατὰ μέρη τῆς γενέσεως καὶ περὶ ψυχῆς, δι' ἅς τε αἰτίας καὶ προνοίας γέγονε θεῶν, τοῦ μάλιστα εἰκότος ἀντεχομένοις οὕτω καὶ κατὰ ταῦτα πορευομένοις «διεξιτέον». Πλάτ. Τιμ. 15, 44, C. D.

2. Ἀθ. Τὰς ἄλλας τοίνυν, ὅσαι ἐπιστῆμαι μέν εἰσι λεγόμεναι, σοφὸν δὲ οὐκ ἀποτελοῦσι τὸν λαμβάνοντά τε αὐτὰς καὶ ἔχοντα πρῶτον «διεξιτέον», ὅπως ταύτας ἐκποδὼν θέμενοι πειρώμεθα ἐκείνας ὧν δεόμεθα παραθέσθαι τε καὶ παραθέμενοι μανθάνειν. Πλάτ. Ἐπιν. 1, 974, D.

111, 1. Διὰ ταῦτ' οὖν λόγον πρῶτον καὶ δόξαν καὶ φαντασίαν «διερευνητέον», ὅ,τί ποτ' ἔστιν, ἵνα ... Πλάτ. Σοφ. 44, 260, E.

2. Ἀθ. Ταῦτ' ἄρα μετὰ τοῦθ' ἡμῖν αὖ καθάπερ κυσὶν ἰχνευούσαις «διερευνητέον», σχῆμά τε καλὸν καὶ μέλος καὶ ᾠδὴν καὶ ὄρχησιν. Πλάτ. Νομ. B, 2, 654, E.

112. Ἡμῖν δή, ἦν δ' ἐγώ, πάντα τὰ τοιαῦτα «διευλαβητέον», ὡς ἐὰν ... Πλάτ. Πολ. Z, 15, 536.

113. Τρ. Τί σεμνομυθεῖς; οὐ λόγων εὐσχημόνων δεῖ σ', ἀλλὰ τἀνδρὸς ὡς τάχος «διιστέον», τὸν εὐθὺν ἐξειπόντας ἀμφὶ σοῦ λόγον. Εὐριπ. Ἱππολ. 491.

114. Ἆρ' οὖν τὸ μετὰ τοῦτο «διιτέον» τοὺς χείρους, τὸν φιλόνεικόν τε καὶ φιλότιμον, κατὰ τὴν Λακωνικὴν ἑστῶτα πολιτείαν, καὶ ὀλιγαρχικὸν αὖ καὶ δημοκρατικὸν καὶ τυραννικόν, ἵνα... Πλάτ. Πολ. H, 2, 545.

115. Ὃ καὶ δέδοικα μή με δικτύων ἔσω λαβόντες οὐκ ἐκφρῶσ' ἀναίμακτον χρόα. ὧν εἵνεκ' ὄμμα πανταχῇ «διοιστέον» κἀκεῖσε καὶ τὸ δεῦρο, μὴ δόλος τις ᾖ. Εὐριπ. Φοιν. 265.

116, 1. Σω. Πρός δέ γε τούτοις εἰ καὶ τὸ παράπαν ἡμῖν τὰ μέν ἐστι ποί' ἄττα, ἡδονὴ δὲ καὶ λύπη μόνον ἅπερ ἐστί, ποιώ τινε δὲ οὐ γίγνεσθον, καὶ ταῦθ' ἡμῖν «διομολογητέον». Πλάτ. Φιλ. 22, 37, C.

2. Θεαιτ. Ὀρθῶς τοῦτό γε· λόγον δὲ δι' ὅ,τι νῦν «διομολογητέον» οὐκ ἔμαθον. Πλάτ. Σοφ. 44, 260, B.

3. Οὐκοῦν τοῦτο ἔτι «διομολογητέον»; Πλάτ. Πολ. Z, 9, 527, B.

4. Ὅθεν δὲ ὠνομάσθη ταῦτα καὶ ἐν οἷς ὄντα εἰθίσμεθα δι' ἐκεῖνα καὶ τὸν οὐρανὸν ὅλον οὕτω διαιρούμενοι λέγειν, ταῦτα «διομολογητέον» ὑποθεμένοις τάδε ἡμῖν. Πλάτ. Τιμ. 26, 63, B.

117, 1. Τούτων ὁπότερ' ἂν ᾖ φίλον εἰρῆσθαί σοι, τοῦτο ἡμῖν «διοριστέον». Πλάτ. Σοφ. 9, 222, B.

2. Ὧδε οὖν περί τε εἰκόνος καὶ περὶ τοῦ παραδείγματος αὐτοῖς «διοριστέον», ὡς ἄρα τοὺς λόγους, ὧνπέρ εἰσιν ἐξηγηταί, τούτων αὐτῶν καὶ ξυγγενεῖς ὄντας. Πλάτ. Τιμ. 5, 29, B.

3. Τὸ δὴ πρόσθεν ἀσαφῶς ῥηθὲν νῦν μᾶλλον «διοριστέον». Πλάτ. Τιμ. 20, 54, B.

4. Τὸ δ' ἐχόμενον τούτων, αἱ βίαιοι πράξεις ὑπ' ἀλλήλων ἀκούσιοί τε καὶ ἑκούσιοί γιγνόμεναι «διοριστέον» εἰς δύναμιν αἵ τε εἰσι καὶ ὅσαι, Πλάτ. Νομ. Θ, 13, 874, D.

118. 1. Ἐκ τούτου Ξενοφῶντι ἐδόκει «διωκτέον» εἶναι· Ξενοφ. ΚΑ, 3, 3, 8.

2. Καὶ πάντως λέγοντα τὸ δὴ εἰκὸς «διωκτέον» εἶναι, πολλὰ εἰπόντα χαίρειν τῷ ἀληθεῖ· Πλάτ. Φρ. 57, 272, E.

3. «Διωκτέον» ἰδὲ 2, 67.

4. Καὶ δὴ καὶ τὰ τῶν περὶ τὰς ἰατρικὰς σικύας παθημάτων αἴτια καὶ τὰ τῆς καταπόσεως τά τε τῶν ῥιπτομένων, ὅσα ἀφεθέντα μετέωρα καὶ ὅσα ἐπὶ γῆς φέρεται, ταύτῃ «διωκτέον», Πλάτ. Τιμ. 37, 80.

5. Οὐδὲ γὰρ τοῦτο φευκτέον, ἀλλὰ πάντων μάλιστα «διωκτέον» τῷ νοῦν ἔχοντι. Πλάτ. Θεαίτ. 20, 167, D.

119. Ἀλλ' ἆρα ἵνα βελτίους ὦσιν οἱ πολῖται ὁρῶντες ἅπαντας ὁμοίως τιμωμένους, διὰ τοῦτο δοκιμαστέον ἐστίν; Λυσίας 31, 25.

120, 1. Εἰ μέντοι ταῦτα δεῖ ποιεῖν, πιστὰ καὶ ὁμήρους «δοτέον» καὶ ληπτέον. Ξενοφ. Ἑλλ. 3, 2, 18.

2. Ἐπειδὰν δὲ ἀνακρουόμενος αἴρῃ τὸν αὐχένα, «δοτέον» εὐθὺς τὸν χαλινόν. Ξενοφ. Ἱππικ. 10, 12.

3. Σω. Οὐκ ἄρα πᾶν γε ποιοῦσι καὶ λέγουσι. τοῦτο γάρ, οἶμαι, οὐ τολμῶσι λέγειν οὐδ' ἀμφισβητεῖν, ὡς οὐχί, εἴπερ ἀδικοῦσί γε, «δοτέον» δίκην· ἀλλ' οἶμαι, οὔ φασιν ἀδικεῖν. ἢ γάρ; Πλάτ. Εὐθφ. 9, 8, C. ἰδὲ καὶ D.

4. Ἐπεὶ ἐκεῖνό γε δήπου, ὦ θαυμάσιε, οὐδεὶς οὔτε θεῶν οὔτε ἀνθρώπων τολμᾷ λέγειν, ὡς οὐ τῷ γε ἀδικοῦντι «δοτέον» δίκην. Πλάτ. Εὐθφ. 9, 8, E.

5. Νε. Σω. Φανερόν, οἶμαι, καὶ τοῦτο ῥητορικῇ «δοτέον» ὄν. Πλάτ. Πολ. 42, 304, D.

6. «Δοτέον» ἰδὲ 2, 68. 72. 64. 54[2]. 34. 50.

7. Εἰ μέν σοι ἤδη πάρεστιν, ὡς λέγει Κριτίας ὅδε, σωφροσύνη καὶ εἶ σώφρων ἱκανῶς, οὐδὲν ἔτι σοι ἔδει οὔτε τῶν Ζαλμόξιδος οὔτε τῶν Ἀβάριδος τοῦ Ὑπερβορέου ἐπῳδῶν, ἀλλ' αὐτό σοι ἂν ἤδη «δοτέον» εἴη τὸ τῆς κεφαλῆς φάρμακον· εἰ δ' ἔτι τούτων ἐπιδεὴς εἶναι δοκεῖς, ἐπᾳστέον πρὸ τῆς τοῦ φαρμάκου δόσεως. Πλάτ. Χαρμ. 6, 158, B.

8. Τούτων δ' αὐτῶν τὰ ἐλαφρότερα ταῖς γυναιξὶν ἢ τοῖς ἀνδράσι «δοτέον» διὰ τὴν τοῦ γένους ἀσθένειαν· Πλάτ. Πολ. Ε, 6, 457.

9. Καὶ τοῖς ἀγαθοῖς γε που τῶν νέων ἐν πολέμου ἢ ἄλλοθί που γέρα «δοτέον» καὶ ἆθλα ἄλλα τε καὶ ἀφθονοτέρα ἡ ἐξουσία τῆς τῶν γυναικῶν ξυγκοιμήσεως, ἵνα... Πλάτ. Πολ. Ε, 9, 460, B.

10. Ὑμεῖς γὰρ ἡγεῖσθε, κἂν εἰ μὴ δυνατὸν εἴη ταῦτα λανθάνειν καὶ θεοὺς καὶ ἀνθρώπους, ὅμως «δοτέον» εἶναι τοῦ λόγου ἕνεκα, ἵνα αὐτὴ δικαιοσύνη πρὸς ἀδικίαν αὐτὴν κριθείη. Πλάτ. Πολ. I, 12, 612, C.

11. Σω. Καὶ μὲν δὴ καὶ περὶ γυναικῶν ἐπεμνήσθημεν, ὡς τὰς φύσεις τοῖς ἀνδράσι παραπλησίας εἶναι ξυναρμοστέον, καὶ τὰ ἐπιτήδεια πάντα κοινὰ κατά τε πόλεμον καὶ κατὰ τὴν ἄλλην δίαιταν «δοτέον» πάσαις. Πλάτ. Τιμ. 1, 18, C.

12. Ἀθ. Τοῦτο μὲν τοίνυν οὕτω κείσθω δεδογμένον καὶ λεγόμενον, ὡς τοῖς ταῦτ' ἀμαθαίνουσι τῶν πολιτῶν οὐδὲν ἐπιτρεπτέον ἀρχῆς ἐχόμενον καὶ ὡς ἀμαθέσιν ὀνειδιστέον, ἂν καὶ πάνυ λογιστικοί τε ὦσι καὶ πάντα τὰ κομψὰ καὶ ὅσα πρὸς τάχος τῆς ψυχῆς πεφυκότα διαπεπονημένοι ἅπαντα, τοὺς δὲ τοὐναντίον ἔχοντας τούτων ὡς σοφούς τε προσρητέον, ἂν καὶ τὸ λεγόμενον μήτε γράμματα μήτε νεῖν ἐπίστωνται, καὶ τὰς ἀρχὰς «δοτέον» ὡς ἔμφροσι. Πλάτ. Νομ. Γ, 9, 689, C. καὶ D.

13. Ἀθ. Οὐκοῦν καὶ τοῖς ἄλλοις ὡσαύτως κατὰ τὸν αὐτὸν ἂν ἔχοι λόγον, καὶ δὴ καὶ νομοθεσίᾳ ταὐτὸν τοῦτο «δοτέον»· Πλάτ. Νομ. Δ, 4, 709, C.

14. Οἷς δὴ «δοτέον» εἰς κοινὸν νόμον ἑκάστοις. Πλάτ. Νομ. I, 1, 885.

15. Εἰ γὰρ ἐστί τῳ «δοτέον» τι τοιοῦτον, ὡς ἔγωγε οὔ φημι, πρῶτον μὲν τῷ μηδὲν ἠδικηκότι πώποτε, δεύτερον δὲ τῷ μηδ' ἂν ἀδικεῖν βούληται δυνησομένῳ, ἔπειθ' ὡς ἀληθῶς ὅστις ἅπασιν ἀνθρώποις ἔσται φανερὸς ὑπὲρ τοῦ

μή τι παθεῖν ταῦτα εὑρισκόμενος, καὶ οὐκ ἐπὶ τῷ ποιεῖν μετ' ἀδείας ἑτέρους κακῶς, τούτῳ «δοτέον». Δημ. 23, 125, [2]

16. Εἰδότες γὰρ οἱ βουλόμενοι κακόν τι πράττειν ὅτι τούτοις ἐστὶν ἀπὸ τῶν λημμάτων τὸ μέρος «δοτέον», ἐξ ἀνάγκης μείζω προαιροῦνται παρὰ τῶν ἄλλων ἁρπάζειν, ἵνα μὴ μόνον αὐτοῖς, ἀλλὰ καὶ τούτοις ἔχωσιν ἀναλίσκειν. Δημ. 58, 64.

121, 1. Ἴτω δ' ὅμως τῷ Βακχίῳ γὰρ τῷ Διὸς «δουλευτέον». Εὐριπ. Βακχ. 366.

2. Νῦν δ' ὡς ἔοικε τῇ τύχῃ «δουλευτέον». Εὐριπ. Ἡρ. Μ, 1357.

3. Πολ. ἀλλὰ εἰς τὸ κέρδος παρὰ φύσιν «δουλευτέον». Εὐριπ. Φοιν. 395.

4. «Δουλευτέον» ἰδὲ 2, 16.

122, 1. Ἀπροσδόκητον οὐδὲν εἴρηκας· καλῶς δ' ἤδη σ' ἀπορρίψουσαν ἀπηγγελλομένην. ἀλλ' αὐτοχειρί μοι μόνῃ τε «δραστέον» τοὔργον τόδ'. οὐ γὰρ δὴ κενόν γ' ἀφήσομεν. Σοφ. Ἠλ. 1019.

2. Κρ. οὕτως ἐλέχθη ταῦθ. ὅμως δ' ἵν' ἔσταμεν χρείας ἄμεινον ἐκμαθεῖν τι «δραστέον». Σοφ. Οἰδ. Τ. 1443.

3. Ορ. φεῦ· γενναῖον ἄνδρ' ἔλεξας, εὖ τε «δραστέον». Εὐριπ. Ἠλ. 263.

4. Ἐπεὶ δ' ἀνάγκην προστίθης ἡμῖν θανεῖν, στέργειν ἀνάγκη, «δραστέον» θ' ἅ σοι δοκεῖ. Εὐριπ. Ἡρ. Μ. 711.

5. Κλ. ὡς σώφρον' εἶπας. «δραστέον» δ' ἅ σοι δοκεῖ. Εὐριπ. Ιφ. Α, 1024.

6. Οὐκ οἶδ' ὅσῳ χρὴ κανόνι τὰς βροτῶν τύχας ὀρθῶς ἀθρήσαντ' εἰδέναι τὸ «δραστέον». Εὐριπ. Ἀποσ. 377.

7. Νε. Σω. Ἀλλὰ μὴν οὐδαμῶς τοῦτό γε «δραστέον». Πλάτ. Πολ. 11. 268. D.

8. Μὴ γὰρ οἰώμεθα τέλος ἡμῖν εἶναι τῶν νῦν τὴν πάντων ἡμῶν ἀπορίαν, ἀλλ' εἰ δρᾶν τοῦθ' ἡμεῖς ἀδυνατοῦμεν, σοι «δραστέον». Πλάτ. Φιλ. 9, 20.

9. Τοῦτ' οὖν αὐτὸ ἤδη «δραστέον», καὶ μελλητέον οὐδὲν ἔτι. Πλάτ. Κριτίας 2, 108, D.

10. Εἰ δὴ πολέμου γε ὄντος φυλακῆς ἕνεκα δεῖ ξυσσιτεῖν καί τινας ἄρχοντας καὶ ἀρχομένους διακεκοσμημένους εἶναι φύλακας αὐτῶν, τοῦτο καὶ ἐν εἰρήνῃ «δραστέον». Πλάτ. Νομ. Α, 2, 626.

11. Καὶ εἴποτε ἐξέρχεται, δυνατὸν δ' ἐστὶν ἐπανορθοῦσθαι, τοῦτ' ἀεὶ «δραστέον» διὰ βίου παντὶ κατὰ δύναμιν. Πλάτ. Νομ. Α, 12, 644, Β.

12. Αθ. «Δραστέον» ὡς λέγετε. Πλάτ. Νομ. Δ, 6, 713, C.

13. Παντὶ μὲν οὖν νομοθετοῦντι τοῦτο ἁμῶς γε πως κατ' ἀρχὰς «δραστέον», ἡμῖν μὴν ἔτι τούτων ἀτοπώτερα τὰ περὶ ταῦτ' ἐστὶ συμβεβηκότα νῦν· Πλάτ. Νομ. Ε, 5, 736.

14. Τρυφῆς δ' ἤδη παραλυτέον κολάζοντα, μὴ ἀτίμως, ἀλλ' ὅπερ ἐπὶ τῶν δούλων γ' ἐλέγομεν, τὸ μὴ μεθ' ὕβρεως κολάζοντας ὀργὴν ἐμποιεῖν δεῖν τοῖς κολασθεῖσι μηδ' ἀκολάστους ἐῶντας τρυφήν, ταὐτὸν «δραστέον» τοῦτό γε καὶ ἐπ' ἐλευθέροισι. Πλάτ. Νομ. Ζ, 4, 794.

15. Τί δὴ «δραστέον» περὶ τὰ τοιαῦτα; Πλάτ. Νομ. Ζ. 23, 823, C.

123. Οἴμοι· μόλις μέν, καρδίας δ' ἐξίσταμαι τὸ δρᾶν· ἀνάγκῃ δ' οὐχὶ «δυσμαχητέον». Σοφ. Ἀντιγ. 1105.

124, 1. Ξε. Τὴν κίνησιν δὴ ταὐτόν τ' εἶναι καὶ μὴ ταὐτὸν ὁμολογητέον καὶ οὐ «δυσχεραντέον». Πλάτ. Σοφ. 41, 256.

2. Ξε. Οὐκοῦν δὴ καὶ ταῦτα οὐ «δυσχεραντέον» ἐπείπερ ἔχει κοινωνίαν ἀλλήλοις ἡ τῶν γενῶν φύσις. Πλάτ. Σοφ. 41, 257.

3. Ἔτι δὲ καὶ τὸ τῶν χθονίων καὶ ὅσους αὖ θεοὺς οὐρανίους ἐπονομαστέον καὶ τὸ τῶν τοιούτοις ἑπομένων οὐ ξυμμικτέον, ἀλλὰ χωριστέον ἐν τῷ τοῦ Πλούτωνος μηνὶ τῷ δωδεκάτῳ κατὰ τὸν νόμον ἀποδιδόντας, καὶ οὐ «δυσχεραντέον» πολεμικοῖς ἀνθρώποις τὸν τοιοῦτον θεόν, ἀλλὰ τιμητέον ὡς ὄντα ἀεὶ τῷ τῶν ἀνθρώπων γένει ἄριστον. Πλάτ. Νομ. II, 1, 828, C. καὶ D.

4. «Δυσχεραντέον» ἰδὲ 2, 106, 2.

125, 1. Κακῶς γάρ σ' οὐκ «ἐατέον» κλύειν. Εὐριπ. Ἡρ. Μ. 173.

2. Ιο. τοῦτ' εἰς ὕποπτον εἶπας· οὐκ «ἐατέον». Εὐριπ. Φοιν. 1210.

3. «Ἐατέον» δὲ καὶ σοὶ τὸ ῥῆμα ἐπὶ τῶν ἐν μέρει, ἐπειδὴ τὸ ῥῆμα ἕτερον τῷ ἑτέρῳ κατὰ ῥῆμα ταὐτόν ἐστιν. Πλάτ. Θεαιτ. 32, 190, C.

4. Ξε. Διὰ ταῦτα μέντοι τολμητέον ἐπιτίθεσθαι τῷ πατρικῷ λόγῳ νῦν, ἢ τὸ παράπαν «ἐατέον», εἰ τοῦτό τις εἴργει δρᾶν ὄκνος. Πλάτ. Σοφ. 29, 242.

5. Ξε. Τούτου τοίνυν μέχριπερ ἂν αὐτοὶ κοινωνῶμεν, «ἐατέον» τά γε τῶν ἄλλων δοξάσματα χαίρειν: Πλάτ. Πολ. 3, 260, B.

6. «Ἐατέον» ἰδὲ 2, 94, 5. 72, 5. 69, 1. 73, 5. 25.

7. Τοῦτο μὲν οὖν ὡς δῆλον «ἐατέον», τὸ δ' ἐφεξῆς ῥητέον, τίνα ἡμῖν ὠφέλειαν ἢ τίνα βλάβην περὶ τὴν κτῆσιν ἡ τοῦ ἐρῶντος ὁμιλία τε καὶ ἐπιτροπεία παρέξεται. Πλάτ. Φρ. 16, 239, D.

8. Ὁπόσον δὲ χρόνον, τόν γε ὡς ἀληθῶς ἄνδρα «ἐατέον» ἐστὶ καὶ οὐ φιλοψυχητέον, ἀλλὰ ἐπιτρέψαντα περὶ τούτων τῷ θεῷ καὶ πιστεύσαντα ταῖς γυναιξίν, ὅτι . . . Πλάτ. Γοργ. 68, 512, E.

9. Τὴν δὲ τῶν ὅρκων καὶ σπονδῶν σύγχυσιν, ἣν ὁ Πίνδαρος συνέχεεν, ἐάν τις φῇ δι' Ἀθηνᾶς τε καὶ Διὸς γεγονέναι, οὐκ ἐπαινεσόμεθα· οὐδὲ θεῶν ἔριν τε καὶ κρίσιν διὰ Θέμιτός τε καὶ Διός· οὐδ' αὖ, ὡς Αἰσχύλος λέγει, «ἐατέον» ἀκούειν τοὺς νέους, ὅτι

θεὸς μὲν αἰτίαν φύει βροτοῖς,
ὅταν κακῶσαι δῶμα παμπήδην θέλῃ.

ἀλλ' ἐάν τις ποιῇ, ἐν οἷς ταῦτα τὰ ἰαμβεῖα ἔνεστι, τὰ τῆς Νιόβης πάθη ἢ τὰ Πελοπιδῶν ἢ τὰ Τρωϊκὰ ἤ τι ἄλλο τῶν τοιούτων, ἢ θεοῦ ἔργα «ἐατέον» αὐτὰ λέγειν, ἢ εἰ θεοῦ, ἐξευρετέον αὐτοῖς σχεδὸν ὃν νῦν ἡμεῖς λόγον ζητοῦμεν, καὶ λεκτέον, ὡς ὁ μὲν θεὸς δίκαιά τε καὶ ἀγαθὰ εἰργάζετο, οἱ δὲ ὠνίναντο κολαζόμενοι. Πλάτ. Πολ. B, 19, 380. [2]

10. Ὡς δὲ ἄθλιοι μὲν οἱ δίκην διδόντες, ἦν δὲ δὴ ὁ δρῶν ταῦτα θεός, οὐκ «ἐατέον» λέγειν τὸν ποιητήν· ἀλλ' εἰ μὲν ὅτι ἐδεήθησαν κολάσεως λέγοιεν, ὡς ἄθλιοι οἱ κακοί, διδόντες δὲ δίκην ὠφελοῦντο ὑπὸ τοῦ θεοῦ, «ἐατέον». Πλάτ. Πολ. B, 19, 380, B, [2] ἰδὲ καὶ 9.

11. Ὅπως ὅ τι ἄριστοι δημιουργοὶ τοῦ ἑαυτῶν ἔργου ἔσονται, καὶ τοὺς ἄλλους ἅπαντας ὡσαύτως, καὶ οὕτω ξυμπάσης τῆς πόλεως αὐξανομένης καὶ καλῶς οἰκιζομένης «ἐατέον» ὅπως ἑκάστοις τοῖς ἔθνεσιν ἡ φύσις ἀποδίδωσι τοῦ μεταλαμβάνειν εὐδαιμονίας. Πλάτ. Πολ. Δ, 1, 421, C. ἰδὲ καὶ 20, 3.

12. «Ἐατέον» ἄρα τὰς νεκροσυλίας καὶ τὰς τῶν ἀναιρέσεων διακωλύσεις; «Ἐατέον» μέντοι, ἔφη νὴ Δία. Πλάτ. Πολ. E, 15, 469, E. [2]

13. Κλ. Ναί· δεδομένης γὰρ αὐτῷ παρρησίας «ἐατέον», ἕως ἂν διεξέλθωμεν πάντῃ ἱκανῶς τοὺς νόμους. Πλάτ. Νομ. Z, 22, 806, D,

14. Ἀθ. Οὐκοῦν ἂν μὲν δείξωμεν οὕτω ταῦτ' ἔχοντα, μαθητέα μέχρι γε τούτου τὰ τοιαῦτα πάντα, μὴ δειχθέντων δὲ «ἐατέον»; καὶ ταῦτα ἡμῖν οὕτω ξυγκείσθω; Πλάτ. Νομ. Ζ, 22, 822, C.

15. Ἀθ. Ἆρ' οὖν οὐ τούτοις ἐφεξῆς ἐστὶ μνησθῆναί ποτε περὶ ἁπάντων τῶν ἀγώνων τῶν γυμνικῶν, ὡς ὅσα μὲν αὐτῶν πρὸς πόλεμόν ἐστιν ἀγωνίσματα, ἐπιτηδευτέον καὶ θετέον ἆθλα νικητήρια, ὅσα δὲ μή, χαίρειν «ἐατέον»; ἃ δ' ἔστιν, ἐξ ἀρχῆς ἄμεινον ῥηθῆναί τε καὶ νομοθετηθῆναι. καὶ πρῶτον μὲν τὰ περὶ δρόμον καὶ τάχος ὅλως ἆρ' οὐ θετέον; Κλ. Θετέον. Πλάτ. Νομ. Η, 4, 832, Ε.

16. Κλ. Ἥκιστα, νὴ τὸν ξένιον, ὦ ξένε, θεόν, «ἐατέον» που τὸ τοιοῦτον, ἐπεὶ δοκεῖς ἡμῖν ὀρθότατα λέγειν. ἀλλὰ δὴ πῶς τις τοῦτ' ἂν μηχανῷτο; Πλάτ. Νομ. ΙΒ, 12, 965, Ε.

17. Εἰ μὲν τοίνυν ἀποτρέψαι συμφέρει τοὺς ἄλλους, τοῦτον καὶ δι' ἐκεῖνα κολαστέον, καὶ μᾶλλον γε ὅσῳ περ ἂν ᾖ πλείω καὶ μείζω. εἰ δὲ παροξῦναι καὶ τοῦτον καὶ πάντας, «ἐατέον». Δημ. 21, 37.

18. Ὥστ' οὐ ποιητέον τοὺς συκοφάντας κυρίους τηλικούτου πράγματος, οὐδὲ τοὺς μὲν μὴ διδόντας τούτοις ἀργύριον τιμωρητέον, παρ' ὧν δ' ἂν λάβωσιν «ἐατέον» ποιεῖν ὅ τι ἂν βουληθῶσιν, ἀλλ' εἰ μὲν ἡ φιλοσοφία... ἰδὲ 2, 71.

19. Ἀλλὰ δοκέειν γὰρ νικηθέντα τῇ ναυμαχίῃ οὐ μενέειν ἐν τῇ Εὐρώπῃ τὸν Πέρσην, «ἐατέον» ὦν εἶναι φεύγειν, ἐς ὃ ἔλθῃ φεύγων ἐς τὴν ἑωυτοῦ. Ἡροδ. 8, 108.

126. Ἡμ. ἔμαθον· ἴσχε πᾶς δόρυ. Ἡμ. οἶσθ' ὅποι βεβᾶσιν ἄνδρες; Οδ. τῇδέ πῃ κατείδομεν. ἕρπε πᾶς κατ' ἴχνος αὐτῶν. Ημ. ἢ βοὴν «ἐγερτέον»; Εὐριπ. Ῥῆσ. 690.

127, 1. «Ἐγκριτέον» ἰδὲ 2, 54, 4. 5.

2. Ἐν πᾶσι δὴ τούτοις, ἦν δ' ἐγώ, τοῖς τε πόνοις καὶ μαθήμασι καὶ φόβοις, ὃς ἂν ἐντρεχέστατος ἀεὶ φαίνηται, εἰς ἀριθμόν τινα «ἐγκριτέον». Πλάτ. Πολ. Ζ, 16, 537.

128. Οἶδα μὲν ὅτι τῆς Αἰγησιλάου ἀρετῆς τε καὶ δόξης οὐ ῥᾴδιον ἄξιον ἔπαινον γράψαι, ὅμως δ' «ἐγχειρητέον». Ξενοφ. Αἰγησ. 1, 1.

2. «Ἐγχειρητέον» ἰδὲ 2, 10.

2. Ξε. Πείρας μὲν τοίνυν ἕνεκα φανερὸς ἔσται· διὰ δὲ μουσικῆς αὐτὸν «ἐγχειρητέον» δηλῶσαι. καί μοι λέγε. Πλάτ. Πολ. 42, 304.

129, 1. «Ἐδεστέον» ἰδὲ 2, 87, 2.

2. Σιτία μὲν γὰρ καὶ ποτὰ πριάμενον παρὰ του (καπήλου καὶ ἐμπόρου) ἔξεστιν ἐν ἄλλοις ἀγγείοις ἀποφέρειν, καὶ πρὶν δέξασθαι αὐτὰ εἰς τὸ σῶμα πιόντα ἢ φαγόντα, καταθέμενον οἴκαδε ἔξεστι συμβουλεύσασθαι, παρακελεύσαντα τὸν ἐπαΐοντα, ὅ,τι τε «ἐδεστέον» ἢ «ποτέον» καὶ ὅ,τι μή, καὶ ὁπόσον καὶ ὁπότε· Πλάτ. Πρωτ. 5, 314.

130, 1. «Ἐθιστέον» ἰδὲ 2, 67, 16.

2. Οἶμαι δὲ οὐδὲ μαινομένοις «ἐθιστέον» ἀφομοιοῦν αὐτοὺς ἐν λόγοις οὐδ' ἐν ἔργοις. Πλάτ. Πολ. Γ, 8, 398.

131. Ἐκ τῶνδε μέντοι τῶν τρόπων οὐκ ἄν ποτε κατάστασις γένοιτ' ἂν οὐδενὸς νόμου, εἰ τοὺς δίκῃ νικῶντας ἐξωθήσομεν καὶ τοὺς ὄπισθεν ἐς τὸ πρόσθεν ἄξομεν. ἀλλ' «εἰρκτέον» τάδ' ἐστίν. Σοφ. Αἴας 1246.

132, 1. Ἐγὼ δὲ οἶμαι εἰς μὲν τὸ δικαστήριον τούτους «εἰσακτέον» εἶναι

οὓς μὴ εἰσάγων ἂν τις διὰ κέρδος δοκοίη τοῦτο ποιεῖν· Ξενοφ. Ἱππαρ. 1, 10.

2, Βδε. Τοῦτ' ἄρα πρῶτον τἀδίκημα τῷ πατρὶ «εἰσακτέον» μοι· Ἀριστοφ. Σφηκ. 840.

133. Τοὺς δ' ἐγκριθέντας πείσομεν τὰς τροφούς τε καὶ μητέρας λέγειν τοῖς παισὶ καὶ πλάττειν τὰς ψυχὰς αὐτῶν τοῖς μύθοις πολὺ μᾶλλον ἢ τὰ σώματα ταῖς χερσίν, ὧν δὲ νῦν λέγουσι τοὺς πολλοὺς «ἐκβλητέον». Πλάτ. Πολ. Β, 17, 377, C.

134, 1, Ταύτας ἐκδοτέον ἐμοί ἐστι καὶ ἐμοῖς ἐπιτηδείοις, αἷς ἂν ἐγὼ ἐπιδιῶ· αἷς δ' ἂν μή, χαιρόντων· καὶ ὧν ἂν γένωνται οἱ πατέρες αὐτῶν ἐμοῦ πλουσιώτεροι, οὐκ «ἐκδοτέον»· Πλάτ. Ἐπιστλ. ΙΓ, 361, D. [2]

2. Τὴν μὲν γὰρ Ἥραν παραδίδωμι τῷ Διί, τὴν δὲ Βασίλειαν τὴν κόρην γυναῖκ' ἐμοὶ «ἐκδοτέον» Ἀριστοφ. Ὀρν. 1635.

3. Πότερον δέδρακεν ἢ οὔ καὶ πότερ' ἄκων ἢ ἑκών, πάνδεινον γράφειν ὡς «ἐκδοτέον» τοῖς ἐγκαλοῦσιν. Δημ. 23, 79.

135. Πασῶν γὰρ ἐκείνην γε «ἐκκριτέον», οἷον θεὸν ἐξ ἀνθρώπων, ἐκ τῶν ἄλλων πολιτειῶν. Πλάτ. Πολ. 41, 303, Β.

136. «Ἐκλεκτέον» ἄρ' ἐκ τῶν ἄλλων φυλάκων τοιούτους ἄνδρας, οἳ ἂν σκοποῦσιν ἡμῖν μάλιστα φαίνωνται παρὰ πάντα τὸν βίον, Πλάτ. Πολ. Γ, 19, 412, D.

137. Αὖθις δ' Ἐπαμεινώνδας, βουληθεὶς τοὺς Ἀχαιοὺς προσαγαγέσθαι, ὅπως μᾶλλον σφίσι καὶ οἱ Ἀρκάδες καὶ οἱ ἄλλοι σύμμαχοι προσέχοιεν τὸν νοῦν, ἔγνω «ἐκστρατευτέον» εἶναι ἐπὶ τὴν Ἀχαΐαν. Ξενοφ. Ἑλ. 7, 1, 41.

138, 1. Ἆρ' εἰ μὲν ταύτῃ ὠφελιμωτέρα ἐστὶν ἡ ἐπίδειξις, ταύτην ἡμῖν χάριν «ἑκτέον», εἰ δὲ ἡμῖν ἡ θέα, ἡμᾶς ταύτῃ; Ξενοφ. Ἀπ. Γ, 11, 2.

2. Ὁ δ' ἐπαινέσας με καὶ εἰπὼν ὅτι μᾶλλον «ἑκτέον» μου εἴη, ὅτι τοιοῦτος εἴην ἀφῆκέ μοι ἐλθόντι πρὸς ὑμᾶς λέγειν τἀληθῆ, ὅτι ...... Ξενοφ. Ἑλ. 6, 1, 13.

3. Τῷ ἑνὶ ἄρα, ἐπειδὴ οὐδαμῇ ἔστιν, οὔθ' «ἑκτέον» οὔτε ἀπαλλακτέον οὔτε μεταληπτέον οὐσίας οὐδαμῶς. Πλάτ. Παρμ. 25, 163, D.

4. Πότερον οὖν καὶ περὶ ταῦτα λέγωμεν, ἔφην, πένταθλον αὐτὸν δεῖν εἶναι καὶ ὕπακρον, καὶ ἐν τούτοις τὰ δευτερεῖα ἔχοντα πάντων τὸν φιλόσοφον, καὶ ἀχρεῖον εἶναι, ἕως ἂν τούτων τις ᾖ, ἢ πρῶτον μὲν τὴν αὐτοῦ οἰκίαν οὐκ ἄλλῳ ἐπιτρεπτέον οὐδὲ τὰ δευτερεῖα ἐν τούτῳ «ἑκτέον», ἀλλ' αὐτὸν κολαστέον δικάζοντα ὀρθῶς, εἰ μέλλει εὖ οἰκεῖσθαι αὐτοῦ ἡ οἰκία; Πλάτ. Ἀντρ. 9, 138, Ε.

5. Σω. Ἦ οὖν τούτων τῶν σιτίων πλέον ἡμῶν «ἑκτέον» αὐτῷ, ὅτι βελτίων ἐστίν, ἢ τῷ μὲν ἄρχειν πάντα ἐκεῖνον δεῖ νέμεσθαι, ἐν δὲ τῷ ἀναλίσκειν τε αὐτὰ καὶ καταχρῆσθαι εἰς τὸ ἑαυτοῦ σῶμα οὐ πλεονεκτητέον, εἰ μὴ μέλλει ζημιοῦσθαι, ἀλλὰ τῶν μὲν πλέον, τῶν δ' ἔλαττον «ἑκτέον»· Πλάτ. Γοργ. 45, 490, C. [2]

6. Πῶς «ἑκτέον» σοι τοὺς στρατιώτας πρὸς αὑτούς τε καὶ τοὺς πολεμίους; Πλάτ. Πολ. Ε. 14, 468.

7. Πρὸς δὲ τούτοις ζητητέον μὴ μόνον γενναίους τε καὶ βλοσυροὺς τὰ ἤθη, ἀλλὰ καὶ ἃ τῇδε τῇ παιδείᾳ τῆς φύσεως πρόσφορα «ἑκτέον» αὐτοῖς. Πλάτ. Πολ. Ζ, 15, 535, Β.

139. Τεταγμένων γε μὴν οὕτω χρή, ὥσπερ καὶ τοῖς φιλάρχοις προαγο-

ρεύεται ἡ χώρα ὑπὸ τοῦ ἱππάρχου ἐν ᾗ ἑκάστῳ «ἐλατέον», οὕτω καὶ τοῖς δεκαδάρχοις παρηγγέλθαι ὑπὸ τῶν φιλάρχων ὅπως πορευτέον ἑκάστῳ. Ξενοφ. Ἱππρχ. 2, 7.

140. Ὅτι μὲν γὰρ θεοί τ' εἰσὶ καὶ ἀνθρώπων ἐπιμελοῦνται, ἔγωγε οὐ παντάπασι φαύλως ἂν φαίην ἡμῖν ἀποδεδεῖχθαι· τὸ δὲ παραιτητοὺς αὖ θεοὺς εἶναι τοῖσιν ἀδικοῦσι, δεχομένους δῶρα, οὔτε τινὶ συγχωρητέον παντί τ' αὖ κατὰ δύναμιν τρόπῳ «ἐλεγκτέον». Πλάτ. Νομ. Ι. 12, 905, D.

141. Πρόθυρα μὲν καὶ σχῆμα κύκλῳ περὶ ἐμαυτὸν σκιαγραφίαν ἀρετῆς περιγραπτέον, τὴν δὲ τοῦ σοφωτάτου Ἀρχιλόχου ἀλώπεκα «ἑλκτέον» ἐξόπισθεν κερδαλέαν καὶ ποικίλην. Πλάτ. Πολ. Β, 8, 365, C.

142. Σω. Πῶς φῄς; ἢ τοῦ ψευδοῦς κανόνος ἅμα καὶ τοῦ κύκλου τὴν οὐ βέβαιον οὐδὲ καθαρὰν τέχνην «ἐμβλητέον» κοινῇ καὶ συγκρατέον; Πλάτ. Φιλ. 38. 62, B.

143. Κελεύω δ' ἔγωγε, καθάπερ ἐν ἀρχῇ προεῖπον, πείθεσθαι τούτοις τοῖς φάσκουσι δεῖν ἐν ταῖς κοιναῖς ὁμολογίαις ἐμμένειν, εἰ μὴ ἐκεῖνο νομίζουσιν, ὅταν μὲν λέγωσιν ὡς «ἐμμενετέον» τοῖς ὅρκοις, οὐ λέγειν αὐτοὺς τὸ μηδὲν ἀδικεῖσθαι, Δημ. 17, 14.

144. Πρῶτον οὖν ὅσα τῶν χυμῶν πέρι λέγοντες ἐν τοῖς πρόσθεν ἀπελίπομεν, ἴδια ὄντα παθήματα περὶ τὴν γλῶτταν, «ἐμφανιστέον» ᾗ δυνατόν. Πλάτ. Τιμ. 28, 65, C.

145, 1. Ἔπειτα «ἐνθυμητέον» καὶ παρ' ἄλλων ἀκούουσι καὶ τοῖς εἰδόσιν αὐτοῖς ἀναμιμνῃσκομένοις, ἡλίκην ποτ' ἐχόντων δύναμιν Λακεδαιμονίων, Δημ. 4, 3.

2. Ἔτι δὲ καὶ τόδε «ἐνθυμητέον», ὅτι πολλοὶ ἤδη πολλὰ καὶ δεινὰ κατηγορήσαντες παραχρῆμα ἐξηλέγχθησαν ψευδόμενοι οὕτω φανερῶς, ὥστε . . . . Ἀνδοκ. 1, 7.

146. Καὶ εἴτε παίζοντα εἴτε σπουδάζοντα ἐννοεῖν δεῖ τὰ τοιαῦτα, «ἐννοητέον» ὅτι τῇ θηλείᾳ καὶ τῇ τῶν ἀρρένων φύσει εἰς κοινωνίαν ἰούσῃ τῆς γεννήσεως ἡ περὶ ταῦτα ἡδονὴ κατὰ φύσιν ἀποδεδόσθαι δοκεῖ, Πλάτ. Νομ. Α, 8, 636, C.

147, 1. Καὶ οἱ γελάσαντες εἶπον ὅτι γυναῖκας «ἐξαιρετέον» εἴη. Ξενοφ. ΚΠ, Δ, 5, 52.

2. Ὥστε ἐξ ἁπάντων τούτων, ὅπερ ἐξ ἀρχῆς ἐλέγομεν, οὐδὲν εἶναι ἓν αὐτὸ καθ' αὑτό, ἀλλά τινι ἀεὶ γίγνεσθαι, τὸ δ' εἶναι πανταχόθεν «ἐξαιρετέον», οὐχ ὅτι . . . Πλάτ. Θεαιτ. 12, 157.

3. Τὴν δ' ἀναρχίαν «ἐξαιρετέον», ἐκ παντὸς τοῦ βίου ἁπάντων τῶν ἀνθρώπων τε καὶ τῶν ὑπ' ἀνθρώπους θηρίων. Πλάτ. Νομ. ΙΒ, 2, 942, D.

148, 1. Ἰδὼν δὲ συλλεγομένους ἐκ τῆς τῶν Μαντινέων πόλεως ἐπὶ τοῖς ὄρεσι τοῖς ὑπὲρ τῆς οὐρᾶς τοῦ ἑαυτῶν στρατεύματος, ἔγνω «ἐξακτέον» εἶναι τὴν ταχίστην ἐκ τοῦ κόλπου. Ξενοφ. Ἑλ. 6, 5, 18.

2. Ἔπειτά γε μὴν τῷ ἱπποκόμῳ «ἐξακτέον» μὲν τὸν ἵππον ὅπου ψήξει, μεταδοτέον δὲ μετὰ τὸ ἄριστον ἀπὸ τῆς φάτνης, ἵν' ἥδιον ἐπὶ τὸ δεῖπνον ἴῃ. Ξενοφ. Ἱππκ. 4, 4.

149. «Ἐξαλειπτέον» ἰδὲ 2, 40, 4.

150. «Ἐξαιτητέον» ἰδὲ 2, 56, 3.

151. Σω. Λέγω δὴ αὖ τὸ μετὰ τοῦτο, μᾶλλον δ' ἐρωτῶ· πότερον ἃ ἂν

τις ὁμολογήσῃ τῷ δίκαια ὄντα ποιητέον ἢ «ἐξαπατητέον». Πλάτ. Κρίτ. 10, 49, Ε.

152. Ὅμως δὲ πρός γε τοὺς φίλους «ἐξελκτέον» διπλῆν ἄκανθαν καὶ παλλίρροπον γόνυ. Εὐριπ. Ἠλ. 491.

153, 1. Ἐγὼ γὰρ οὐ τὸν αὐτὸν τρόπον νομίζω πόλει τὸν ἄξιον «ἐξεταστέον» εἶναι καὶ ἰδιώτῃ. Δημ. 20, 57.

2. Πάνυ μὲν οὖν, ἔφη, «ἐξεταστέον». Πλάτ. Πολ. Ι, 3, 599.

154. «Ἐξευρετέον» ἰδὲ 2, 125, 9.

155. Τειρ. Εἰ καὶ τυραννεῖς, «ἐξισωτέον» τὸ γοῦν ἴσ' ἀντιλέξαι· Σοφ. Οἰδ. Τ. 408.

156. Τῶν τε γὰρ μαινομένων τοὺς μὲν οὐδὲ τὰ δεινὰ δεδιέναι, τοὺς δὲ καὶ τὰ μὴ φοβερὰ φοβεῖσθαι· καὶ τοῖς μὲν οὐδ' ἐν ὄχλῳ δοκεῖν αἰσχρὸν εἶναι λέγειν ἢ ποιεῖν ὁτιοῦν, τοῖς δὲ οὐδ' «ἐξιτητέον» εἰς ἀνθρώπους εἶναι δοκεῖν· Ξενοφ. Ἀπ. 1, 1, 14.

157, 1. Ετ. «Ἐξοιστέον» τἄρ' ὅπλα Καδμείων πόλει. Εὐριπ. Φοιν. 712.

2. Διὰ τοιαύτην δὴ φιλονεικίαν ὑπὸ νέου ὄντος ἐμοῦ ἐγράφη, καί τις αὐτὸ ἔκλεψε γραφέν, ὥστε οὐδὲ βουλεύσασθαι ἐξεγένετο, εἴτ' «ἐξοιστέον» αὐτὸ εἰς τὸ φῶς εἴτε μή. Πλάτ. Παρμ. 2, 128, Ε.

158, 1. Καὶ τῶν μὲν τοιούτων οὐ τὴν εὕρεσιν ἀλλὰ τὴν διάθεσιν «ἐπαινετέον», τῶν δὲ μὴ ἀναγκαίων τε καὶ χαλεπῶν εὑρεῖν πρὸς τῇ διαθέσει καὶ τὴν εὕρεσιν. Πλάτ. Φρ, 11, 236.

2. «Ἐπαινετέον» ἰδὲ 2, 69.

159. Ἡγησάμην τοὺς μὲν τοιούτους οὐ μόνον αὑτοῖς ἀλυσιτελῶς ἔχειν, ἀλλὰ καὶ τοῖς ἄλλοις μοχθηρὰς συνηθείας ἐνεργάζεσθαι, τοῖς δὲ καλῶς φρονοῦσιν οὐκ «ἐπακολουθητέον» εἶναι τῇ τούτων ἀπονοίᾳ, Δημ. 61, 4.

160, 1. Ξε. Οὐχ ἕσπου τοῖς λεχθεῖσιν, ὡς φαίνει· πάλιν οὖν ἔοικεν «ἐπανιτέον» ἀρχόμενον ἀπὸ τελευτῆς. Πλάτ. Πολ. 22, 280, Β.

2. Ὅμως δὲ—οὐ γὰρ ἐν τῷ νῦν παρόντι μόνον ἀκουστέα, ἀλλὰ καὶ αὖθις πολλάκις «ἐπανιτέον»—ταῦτα θέντες ἔχειν ὡς νῦν λέγεται, Πλάτ. Πολ. Ζ, 13, 532, D.

161. «Ἐπαστέον» ἰδὲ 2, 120, 6.

162. Με. Μανθάνω ὃ λέγεις. λέγειν γάρ μοι δοκεῖς, ὡς οὐ τοῦτο εὐκτέον οὐδὲ «ἐπεικτέον», ἕπεσθαι πάντα τῇ ἑαυτοῦ βουλήσει, τὴν βούλησιν δὲ μηδὲν μᾶλλον τῇ ἑαυτοῦ φρονήσει· Πλάτ. Νομ. Γ. 7, 687, Ε.

163. Οὔτε οὖν δὴ τὸ παρὸν ἄκριτον καὶ ἀδίκαστον ἀφέντα ἄξιον φάναι διισχυριζόμενον ἔχειν οὕτως, οὔτ' ἐπὶ λόγου μήκει πάρεργον ἄλλο μῆκος ἐπεμβλητέον· Πλάτ. Τιμ. 18, 51, C.

164. «Ἐπεξαμαρτητέον» ἰδὲ 2, 66, 4.

165, 1. Ἐν αἷς ἡμῖν «ἐπιδεικτέον» ἐστίν, εἴ τι τῶν ἄλλων ἄμεινον τεθράμμεθα καὶ πεπαιδεύμεθα πρὸς ἀρετήν. Ἰσοκρ. 6, 102.

2. Ἐπειδή περ οὖν ἐπελήλυθέ μοι τὸ παρρησιάζεσθαι, καὶ λέλυκα τὸ στόμα καὶ τοιαύτην τὴν ὑπόθεσιν ἐποιησάμην ὥστε μήτε καλὸν εἶναί μοι μήτε δυνατὸν παραλιπεῖν τὰς τοιαύτας πράξεις, ἐξ ὧν οἷόν τ' ἐστὶν ἐπιδεικνύναι πλείονος ἀξίαν τὴν πόλιν ἡμῶν γεγενημένην περὶ τοὺς Ἕλληνας τῆς Λακεδαιμονίων, οὐ κατασιωπητέον οὐδὲ περὶ τῶν ἄλλων κακῶν τῶν οὔπω μὲν εἰρημένων, ἐν δὲ τοῖς Ἕλλησι γεγενημένων, ἀλλ' «ἐπιδεικτέον» τοὺς

μὲν ἡμετέρους ὀψιμαθεῖς αὐτῶν γεγενημένους, Λακεδαιμονίους δὲ τὰ μὲν πρώτους, τὰ δὲ μόνους ἐξαμαρτόντας. Ἰσοκρ. 12, 96.

3. Οὐ γὰρ κωλύει αὐτὸν οὔτε ἄρκυς, οὔτε ἄλλο οὐδὲν φέρεσθαι ὁμόσε τῷ πλησιάζοντι, ὅμως μέντοι προσιτέον, ὅταν ἔχῃ οὕτως, καὶ «ἐπιδεικτέον» τὴν εὐψυχίαν, δι' ἣν εἵλοντο ἐκπονεῖν τὴν ἐπιθυμίαν ταύτην. Ξενοφ. Κυνηγ. 10, 21.

166, 1. Νῦν οὖν καὶ μάλιστα «ἐπιθετέον» αὐτῷ. Πλάτ. Σοφ. 18, 231, C.

2. «Ἐπιθετέον» ἰδὲ 2, 30, 3. 67, 4.

167, 1. Δυοῖν ἄν, ἔφη, «ἐπιμελητέον» ἡμῖν εἴη, ὅπως τε κρείττους ἐσόμεθα τῶν αὐτὰ ἐχόντων καὶ ὅπως οὗτοι μένουσιν· Ξενοφ. ΚΠ, 4, 4, 5.

2. Τοὺς δὲ ἀγαθοὺς ἄνδρας ἐγίγνωσκε συνεκτέον εἶναι, οἵπερ σὺν τοῖς θεοῖς τὸ κρατεῖν παρέσχον, καὶ «ἐπιμελητέον» ὅπως μὴ ἀνήσουσι τὴν τῆς ἀρετῆς ἄσκησιν. Ξενοφ. ΚΠ, 7, 5, 70.

3. «Ἐπιμελητέον» ἰδὲ 2, 67.+3. 79.

4. Αἰσθόμενοι δ' οἱ Λακεδαιμόνιοι ὅτι ἡ δεκάτη τε τῶν ἐκ τοῦ Πόντου πεπραμένη εἴη ἐν Βυζαντίῳ ὑπ' Ἀθηναίων καὶ Καλχηδόνα ἔχουσι καὶ αἱ ἄλλαι Ἑλλησπόντιαι πόλεις φίλου ὄντος αὐτοῖς Φαρναβάζου εὖ ἔχοιεν, ἔγνωσαν «ἐπιμελητέον» εἶναι. Ξενοφ. Ἑλ. 4, 8, 31.

5. Ἀκούσαντες δὲ ταῦτα οἱ Ἀθηναῖοι ἐνόμισαν ἰσχυρῶς «ἐπιμελητέον» εἶναι, καὶ στρατηγὸν πέμπουσι . . . Ξενοφ. Ἑλ. 6, 2, 10.

6. Καὶ ὅταν ἔρια εἰσενεχθῇ σοι, «ἐπιμελητέον» ὅπως οἷς δεῖ ἱμάτια γίγνηται. Ξενοφ. Οἰκον. 7, 36.

7. Καὶ ὅ γε ξηρὸς σῖτος ὅπως καλῶς ἐδώδιμος γίγνηται «ἐπιμελητέον». Ξενοφ. Οἰκον. 7, 36.

8. Ἓν μέντοι τῶν σοι προσηκόντων, ἔφην ἐγώ, ἐπιμελημάτων ἴσως ἀχαριστότερον δόξει εἶναι, ὅτι ὃς ἂν κάμνῃ τῶν οἰκετῶν, τούτων σοι «ἐπιμελητέον» πάντων ὅπως θεραπεύηται. Ξενοφ. Οἰκον. 7, 37.

9. Πρὸς ταῦτα δὴ πάλιν εἶπεν ὁ Σιμωνίδης, ἀλλ' ὅπως μὲν οὐ πάντων τούτων «ἐπιμελητέον»; ὦ Ἱέρων, οὐ λέγω. Ξενοφ. Ἱερ. 9, 1.

10. Πληρουμένου γε μὴν τοῦ ἱππικοῦ «ἐπιμελητέον» μὲν ὅπως τρέφονται οἱ ἵπποι ὡς ἂν δύνωνται πόνους ὑποφέρειν· οἱ γὰρ ἧττους τῶν πόνων οὔτε αἱρεῖν οὔτε ἀποφεύγειν δύναιντο ἄν. «ἐπιμελητέον» δὲ ὅπως εὔχρηστοι ὦσιν· Ξενοφ. Ἱππρχ. 1, 3.[2]

11. Ὅπως μέντοι πρᾷός τε καὶ χειροήθης καὶ φιλάνθρωπος ὁ πῶλος ἐκδιδῶται τῷ πωλοδάμνῃ «ἐπιμελητέον». Ξενοφ. Ἱππκ. 2, 3.

12. Ἔνθα δή, ὡς ἔοικεν, ὦ φίλε Γλαύκων, ὁ πᾶς κίνδυνος ἀνθρώπῳ, καὶ διὰ ταῦτα μάλιστα «ἐπιμελητέον», ὅπως ἕκαστος ἡμῶν τῶν ἄλλων μαθημάτων ἀμελήσας τούτου τοῦ μαθήματος καὶ ζητητὴς καὶ μαθητὴς ἔσται, Πλάτ. Πολ. I, 15, 618, B.

13. Ἀθ. Καὶ ξυμπάσης γε ὡς ἔπος εἰπεῖν ἔοικε τῆς οἰκοδομικῆς πέρι τήν γε δὴ νέαν καὶ ἀοίκητον ἐν τῷ πρόσθεν πόλιν «ἐπιμελητέον» εἶναι, τίνα τρόπον ἕκαστα ἕξει τούτων περί τε ἱερὰ καὶ τείχη. Πλάτ. Νομ. 6, 20, 778, B.

14. Πάντα δὴ ταῦτα λέγω τόδε βουλόμενος ἐνδείξασθαι, ὅτι οὐκ, ἐπειδὰν ἡμεῖς τελευτήσωμεν, καὶ οἱ λόγοι οἱ περὶ ἡμῶν αὐτῶν σεσιγήσονται,

ὥστ' «ἐπιμελητέον αὐτῶν ἐστίν. Πλάτων Ἐπιστολ. Β, 311, C.

15. Νῦν δέ, ἐπειδὴ τετυχήκατε περὶ τοιούτου πράγματος διαφερομένῳ, ὦ ἀνάγκη προσχρῆσθαι παρ' ὅλον τὸν βίον, καὶ μεγάλα διαφέρει πότερον «ἐπιμελητέον» ἐστὶ τούτου ὡς ὠφελίμου ὄντος ἢ οὔ, Πλάτ. Ἐρυξίας 10, 396, B.

168. Τὰ γὰρ ἄλλα ζῶα ᾗ γέγονεν αὖ, διὰ βραχέων «ἐπιμνηστέον», ὅ μή τις ἀνάγκη μηκύνειν· Πλάτ. Τιμ. 44, 90, E.

169. Ἐπὶ δὲ ταῦτα τήν τε γῆν καὶ τὰς οἰκήσεις ὅ,τι μάλιστα ἴσας «ἐπινεμητέον». Πλάτ. Νομ. E, 8, 737, C.

170, 1. Πρῶτον μέν, ἔφη, τὰ παρὰ τῶν θεῶν «ἐπισκεπτέον», εἰ συμβουλεύουσιν αὐτὸν φίλον ποιεῖσθαι. Ξενοφ. Ἀπ. 2, 6, 8.

2. «Ἐπισκεπτέον» ἰδὲ 2, 47.

3. Σω. Εἰ ἄρα τοῦτο ἀληθές, ἤδη ἔοικεν «ἐπισκεπτέον» περὶ ἐκείνων τῶν ὀνομάτων ὧν σὺ ἤρου, περὶ ῥοῆς τε καὶ τοῦ ἰέναι καὶ σχέσεως, εἰ τοῖς γράμμασι καὶ ταῖς συλλαβαῖς τοῦ ὄντος ἐπιλαμβάνεται αὐτῶν ὥστε ἀπομιμεῖσθαι τὴν οὐσίαν, εἴτε καὶ οὔ; Πλάτ. Κρατ. 35, 424.

4. Οὐκοῦν, ἦν δ' ἐγώ, μετὰ τοῦτο «ἐπισκεπτέον» τήν τε τραγῳδίαν καὶ τὸν ἡγεμόνα αὐτῆς Ὅμηρον, ἐπειδή τινων ἀκούομεν, ὅτι οὗτοι πάσας μὲν τέχνας ἐπίστανται, πάντα δὲ τὰ ἀνθρώπεια τὰ πρὸς ἀρετὴν καὶ κακίαν, καὶ τά γε θεῖα· Πλάτ. Πολ. I, 3, 598, D.

5. Τόδε δ' οὖν πάλιν «ἐπισκεπτέον» περὶ αὐτοῦ, πρὸς πότερον τῶν παραδειγμάτων ὁ τεκταινόμενος αὐτὸν ἀπειργάζετο, πότερον πρὸς τὸ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχον ἢ πρὸς τὸ γεγονός. Πλάτ. Τιμ. 5, 28, C.

6. Καὶ οὐκ ἐκ τοῦ αὐτοῦ «ἐπισκεπτέον» ὑμῖν τοῖς ἄλλοις τὸ ἥσυχον, Θουκ. 6, 18, 3.

171. «Ἐπιστατητέον» ἰδὲ 2, 48. 54, 4. καὶ 1, 7, 3.

172. «Ἐπιτελεστέον» ἰδὲ 2, 61, 6.

173. Ὅταν δὲ εἰπεῖν τε ἱκανῶς ἔχῃ, οἷος ὑφ' οἵων πείθεται, παραγιγνόμενόν τε δυνατὸς ᾖ διαισθανόμενος ἑαυτῷ ἐνδείκνυσθαι, ὅτι οὗτός ἐστι καὶ αὕτη ἡ φύσις περὶ ἧς τότε ἦσαν οἱ λόγοι, νῦν ἔργῳ παροῦσά οἱ, ᾗ προσοιστέον τούσδε ὧδε τοὺ λόγους ἐπὶ τὴν τῶνδε πειθώ, ταῦτα δὲ ἤδη πάντα ἔχοντι, προσλαβόντι καιροὺς τοὺς πότε λεκτέον καὶ «ἐπισχετέον», βραχυλογίας τε αὖ καὶ ἐλεεινολογίας καὶ δεινώσεις ἑκάστων τε ὅσ' ἂν εἴδῃ μάθῃ λόγων, τούτων τὴν εὐκαιρίαν τε καὶ ἀκαιρίαν διαγνόντι, καλῶς τε καὶ τελέως ἐστὶν ἡ τέχνη ἀπειργασμένη, πρότερον δ' οὔ. Πλάτ. Φρ. 56, 272.

174, 1. Ἀλλὰ γάρ, ὦ ἄριστε, οὐ πάνυ ῥᾴδιον πεῖσαι ὡς ἄρα οὐχ ὧν ἕνεκα οἱ πολλοί φασι δεῖν πονηρίαν μὲν φεύγειν, ἀρετὴν δὲ διώκειν, τούτων χάριν τὸ μὲν «ἐπιτηδευτέον», τὸ δ' οὔ, ἵνα μὴ κακὸς καὶ ἵνα ἀγαθὸς δοκῇ εἶναι· Πλάτ. Θεαίτ. 25, 176, B.

2. Σὺ οὖν, ὥσπερ ἤρξω νουθετεῖν με, μὴ ἀποστῇς, ἀλλ' ἱκανῶς μοι ἔνδειξαι, τί ἐστι τοῦτο ὃ «ἐπιτηδευτέον» μοι, καὶ τίνα τρόπον κτησαίμην αὐτό, Πλάτ. Γοργ. 42, 488.

3. Οὐ τοίνυν δοκεῖ, ἔφη, τοῖς πολλοῖς, ἀλλὰ τοῦ ἐπιπόνου εἴδους, ὃ μισθῶν θ' ἕνεκα καὶ εὐδοκιμήσεων διὰ δόξαν «ἐπιτηδευτέον», αὐτὸ δὲ δι' αὑτὸ φευκτέον ὡς ὂν χαλεπόν. Πλάτ. Πολ. B, 1, 358.

4. «Ἐπιτηδευτέον» ἰδὲ 2, 125, 15.

5. Ἀθ. Ἀλλὰ δῆτα οὐ χρὴ τὸν νομοθέτην μόνον τῶν γραφόντων περὶ καλῶν καὶ ἀγαθῶν καὶ δικαίων ξυμβουλεύειν διδάσκοντα, οἷά τέ ἐστι καὶ ὡς «ἐπιτηδευτέον» αὐτὰ τοῖς μέλλουσιν εὐδαίμοσιν ἔσεσθαι; Πλάτ. Νομ. Θ, 4, 858, D.

175, 1. Καὶ ὅταν γε τάχους καιρὸς παραστῇ ἢ πεζῇ ἢ κατὰ θάλατταν ἐξορμᾶσθαι, οὐκ «ἐπιτρεπτέον» τοῖς ῥᾳδιουργοῦσιν. Ξενοφ. Ἱέρ. 8, 9.

2. Δοκεῖτε γάρ μοι νήφειν· οὐκ «ἐπιτρεπτέον» ὑμῖν, ἀλλὰ ποτέον· Πλάτ. Συμπ. 31, 213, Ε.

3. «Ἐπιτρεπτέον» ἰδὲ 2, 138, 4.

4. Καὶ ἐγὼ εἶπον μετὰ τοῦτο. Τί οὖν; οἶσθα εἰς οἷόν τινα κίνδυνον ἔρχει ὑποθήσων τὴν ψυχήν; ἢ εἰ μὲν τὸ σῶμα ἐπιτρέπειν σε ἔδει τῳ, διακινδυνεύοντα ἢ χρηστὸν αὐτὸ γενέσθαι ἢ πονηρόν, πολλὰ ἂν περιεσκέψω, εἴτ' «ἐπιτρεπτέον» εἴτε οὔ, καὶ εἰς συμβουλὴν τούς τε φίλους ἂν παρεκάλεις καὶ τοὺς οἰκείους, σκοπούμενος ἡμέρας συχνάς· ὃ δὲ περὶ πλείονος τοῦ σώματος ἡγεῖ, τὴν ψυχήν, καὶ ἐν ᾧ πάντ' ἐστὶ τὰ σὰ ἢ εὖ ἢ κακῶς πράττειν, χρηστοῦ ἢ πονηροῦ αὐτοῦ γενομένου, περὶ δὲ τούτου οὔτε τῷ πατρὶ οὔτε τῷ ἀδελφῷ ἐπεκοινώσω οὔτε ἡμῶν τῶν ἑταίρων οὐδενί, εἴτ' «ἐπιτρεπτέον» εἴτε καὶ οὐ τῷ ἀφικομένῳ τούτῳ ξένῳ τὴν σὴν ψυχήν, Πλάτ. Πρωτ. 5, 313+Β.

5. Οἰκισταῖς δὲ τοὺς μὲν τύπους προσήκει εἰδέναι, ἐν οἷς δεῖ μυθολογεῖν τοὺς ποιητάς, παρ' οὓς ἐὰν ποιῶσιν οὐκ «ἐπιτρεπτέον», οὐ μὴν αὐτοῖς γε ποιητέον μύθους. Πλάτ. Πολ. Β, 18, 379.

6. Αθ. Τοῦτο μὲν τοίνυν οὕτω κείσθω δεδογμένον καὶ λεγόμενον, ὡς τοῖς κτλ. ἰδὲ 2, 120, 12,

7. Αὐτῷ δὲ τῷ τε ῥήτορι καὶ μελῳδῷ καὶ τῷ νομοθέτῃ τὸ τοιοῦτον ἑκάστοτε «ἐπιτρεπτέον». Πλάτ. Νομ. Δ, 12, 723, D.

8. Αθ. Ὅδε, ὅτι τὰ μὲν «ἐπιτρεπτέον» δικαστηρίοις, τὰ δὲ οὐκ «ἐπιτρεπτέον», ἀλλ' αὐτῷ νομοθετητέον. Πλάτ. Νομ. Θ, 13, 876. [2]

9. Τοῖς οὖν δεῖ τοιούτοις δικαστηρίοις νομοθετεῖν ὑπό τινος ἀνάγκης ληφθέντα οὐκ εὐτυχὲς μέν, ὅμως δὲ ἐξ ἀνάγκης εἰλημμένον, ὅ,τι περὶ σμικρότατα «ἐπιτρεπτέον» αὐτοῖς τάττειν τὰς ζημίας, τὰ δὲ πλεῖστα αὐτὸν νομοθετεῖν διαρρήδην, ἄν τις ἄρα τοιαύτῃ πολιτείᾳ νομοθετῇ ποτε· Πλάτ. Νομ. Θ, 14, 876, Β.

10. Ἐπειδὴ δὲ οἷς ἡμεῖς νομοθετοῦμεν, οὐχ ἥκιστα ἐμμελεῖς αὐτοὺς οἰόμεθ' ἂν τῶν τοιούτων γίγνεσθαι κριτάς, «ἐπιτρεπτέον» δὴ τὰ πλεῖστα. Πλάτ. Νομ. Θ, 14, 876, D.

11. Αθ. Οὐκοῦν τόν γε θεὸν οὐ ῥητέον ἔχειν ἦθος τοιοῦτον, ὅ γέ τοι αὐτὸς μισεῖ, τῷ τέ τι τοιοῦτον φθέγγεσθαι πειρωμένῳ οὐκ «ἐπιτρεπτέον». Πλάτ. Νομ. Ι, 10, 901.

176, 1. Σοὶ δὲ προσήκει προσέχοντι τὸν νοῦν τοῖς ὑπ' ἐμοῦ λεγομένοις βουλεύσασθαι, πότερον ὀλιγωρητέον ἐστὶ τῶν Ἑλληνικῶν πραγμάτων γεγονότι μέν, ὥσπερ ὀλίγῳ πρότερον ἐγὼ διῆλθον, ἡγεμόνι δὲ Λακεδαιμονίων ὄντι, βασιλεῖ δὲ προσαγορευομένῳ, μεγίστην δὲ τῶν Ἑλλήνων ἔχοντι δόξαν, ἢ τῶν μὲν ἐνεστώτων πραγμάτων ὑπεροπτέον, μείζοσι δ' «ἐπιχειρητέον». Ἰσοκρ. Ἐπιστλ. 9, 18.

2. Ὥσπερ εἴ τις ἓν τάλαντον μὴ δύναιτο φέρειν, πῶς οὐ φανερὸν ὅτι πλείω γε φέρειν οὐδ' «ἐπιχειρητέον» αὐτῷ; Ξενοφ. Ἀπ. 3, 6, 14.

3. «Ἐπιχειρητέον» ἰδὲ 2, 56.

4. Ξε. Πειρατέον ἔτι σαφέστερον φράζειν εὐνοίᾳ τῆς σῆς φύσεως, ὦ Σώκρατες. ἐν τῷ μὲν οὖν παρεστηκότι τὰ νῦν δηλῶσαι μηδὲν ἐνδεῶς ἀδύνατον· «ἐπιχειρητέον» δὲ εἰ καὶ σμικρῷ πλέον αὐτὸ προαγαγεῖν εἰς τὸ πρόσθεν σαφηνείας ἕνεκα. Πλάτ. Πολ. 6, 262, C.

5. Σω. Τὸ δὴ μετὰ ταῦτα ἆρ' οὐ μιγνύναι «ἐπιχειρητέον»; Πλάτ. Φιλ. 36, 59, E.

6. Σω. Ἆρ' οὖν οὕτως «ἐπιχειρητέον» ἡμῖν ἐστὶ τῇ πόλει καὶ τοῖς πολίταις θεραπεύειν, ὡς βελτίστους αὐτοὺς τοὺς πολίτας ποιοῦντας; Πλάτ. Γοργ. 69, 513, E.

7. Νῦν δ' οὖν τὴν διάταξιν αὐτῶν «ἐπιχειρητέον» ἑκάστων καὶ γένεσιν ἀήθει λόγῳ πρὸς ὑμᾶς δηλοῦν. Πλάτ. Τιμ. 19, 53, B.

8. Ἄθλια μὲν οὖν πάσχω μὴ ἀπολογεῖσθαι μόνον βιαζόμενος, ἀλλὰ καὶ τοὺς ἀποκτείναντας φανεροὺς καταστῆσαι· ὅμως δὲ καὶ τοῦτο «ἐπιχειρητέον». Ἀντιφ. 2, B, 4.

177. «Ἐπονομαστέον» ἰδὲ 2, 124, 3.

178, 1. Τοιοῖσδε χρησμοῖς ἆρα χρὴ πεποιθέναι· κεἰ μὴ πέποιθα, τοὔργον ἔστ' «ἐργαστέον». Αἰσχύλ. Χοηφ. 298.

2. Νῦν δ' ὅτ' ἦν «ἐργαστέον», ἔχρισα μὲν κατ' οἶκον ἐν δόμοις κρυφῇ μαλλῷ. Σοφ. Τραχ. 688.

3. Ὤμωξα δ' οἷον ἔργον ἔστ' «ἐργαστέον» τοὐντεῦθεν ἡμῖν· Εὐριπ. Μήδ. 791.

4. «Ἐργαστέον» ἰδὲ 2, 48.

5. Ἡ γὰρ «ἐργαστέον» ἢ ἀπὸ τῶν εἰργασμένων θρεπτέον. Ξενφ. Ἱπ. 8, 8.

179, 1. Τὰ γὰρ νοσήματα, ὅσα μὴ μεγάλους ἔχει κινδύνους, οὐκ «ἐρεθιστέον» φαρμακείαις. Πλάτ. Τιμ. 42, 89, B.

2. Διὸ παιδαγωγεῖν δεῖ διαίταις πάντα τὰ τοιαῦτα, καθ' ὅσον ἂν ᾖ τῳ σχολή, ἀλλ' οὐ φαρμακεύοντα κακὸν δύσκολον «ἐρεθιστέον». Πλάτ. Τιμ. 42, 89, D.

180. «Ἐρευνητέον» ἰδὲ 2, 5, 2.

181. «Εἰσηγητέον» ἰδὲ 2, 82, 6.

182. «Εὐεργετητέον» ἰδὲ 2, 69.

183. Εἰ δὲ χαλεπῶν προσδοκωμένων καταλύω τὸν βίον, ἐγὼ μὲν οἶμαι ὡς εὐπραγοῦντος ἐμοῦ πᾶσιν ὑμῖν «εὐθυμητέον» εἶναι. Ξενοφ. Ἀπολ. Σ, 27.

184. «Εὐκτέον» ἰδὲ 2, 162.

185, 1. Τοῦτο μὲν γὰρ «εὐλαβητέον». Πλάτ. Γοργ. 36. 480, E.

2. Ἀλλ' ἐν τοσούτοις λόγοις τῶν ἄλλων ἐλεγχομένων μόνος οὗτος ἠρεμεῖ ὁ λόγος, ὡς «εὐλαβητέον» ἐστὶ τὸ ἀδικεῖν μᾶλλον ἢ τὸ ἀδικεῖσθαι, καὶ παντὸς μᾶλλον ἀνδρὶ μελετητέον οὐ τὸ ἀδικεῖν εἶναι ἀγαθόν, ἀλλὰ τὸ εἶναι, καὶ ἰδίᾳ καὶ δημοσίᾳ· Πλάτ. Γοργ. 83, 527, B.

3. Εἶδος γὰρ καινὸν μουσικῆς μεταβάλλειν «εὐλαβητέον» ὡς ἐν ὅλῳ κινδυνεύοντα· Πλάτ. Πολ. Δ, 3, 424, C.

4. Αἰσθόμεθα δ' οὖν, ὡς οὐ σπουδαστέον ἐπὶ τῇ τοιαύτῃ ποιήσει ὡς ἀληθείας τε ἁπτομένῃ καὶ σπουδαίᾳ, ἀλλ' «εὐλαβητέον» αὐτὴν ὂν τῷ ἀκροωμένῳ, περὶ τῆς ἐν αὐτῷ πολιτείας δεδιότι, καὶ νομιστέα ἅπερ εἰρήκαμεν περὶ ποιήσεως. Πλάτ. Πολ. I, 8, 608.

186. Ἢ τοίνυν δεινότερόν τι τούτου δέος «εὑρετέον» ἐστὶν ἢ τόδε γε οὐδὲν ἐπίσχει, Θουκ. 3, 45, 4.

187, 1. Στρ. ὅπως; ὅπως; οὐκ οἶδ'. ἀτὰρ «ζητητέον». Ἀριστφ. Νεφ. 760.

2. Ἀγαπητὸν δὲ καὶ τοῦτο ὁμολογήσασθαι, ὅτι οὐκ ἐξ ὀνομάτων ἀλλὰ πολὺ μᾶλλον αὐτὰ ἐξ αὐτῶν καὶ μαθητέον καὶ «ζητητέον» ἢ ἐκ τῶν ὀνομάτων. Πλάτ. Κρατ. 43, 439, ϐ.

3. Ξε. Τί δέ; τὸ πολικὸν ἢ περὶ τὸ πεζὸν «ζητητέον»; ἢ οὐκ οἴει καὶ τὸν ἀφρονέστατον ὡς ἔπος εἰπεῖν δοξάζειν οὕτως; Πλάτ. Πολ. 8, 264, E.

4. Ξε. Ὡς οὐκ ἄν ποτε πλῆθος οὐδ' ὡντινωνοῦν τὴν τοιαύτην λαβὸν ἐπιστήμην οἷόν τ' ἂν γένοιτο μετὰ νοῦ διοικεῖν πόλιν, ἀλλὰ περὶ σμικρόν τι καὶ ὀλίγον καὶ τὸ ἕν ἐστι «ζητητέον» τὴν μίαν ἐκείνην πολιτείαν τὴν ὀρθήν, τὰς δ' ἄλλας μιμήματα θετέον, ὥσπερ καὶ ὀλίγον πρότερον ἐρρήθη, τὰς μὲν ἐπὶ τὰ καλλίονα, τὰς δὲ ἐπὶ τὰ αἰσχίω μιμουμένας ταύτην. Πλάτ. Πολ. 36, 297, C. ἰδὲ καὶ D.

5. Εἰ ταύτην μάλιστα ἐκ τῶν εἰκότων ἐκτῆσθαι φαῖμεν ἂν ἥτινα ἑτέραν ταύτης κυριωτέραν ἡμῖν «ζητητέον». Πλάτ. Φιλ. 35, 58, E.

6. Εἰ οὖν, ἢ δ' ὅς, δεόμεθα ἐκείνης τῆς τέχνης, ἥτις ᾧ ἂν κτήσηται ἢ ποιήσασα ἢ θηρευσαμένη αὐτὴ καὶ ἐπιστήσεται χρῆσθαι, καὶ ἡ τοιαύτη ποιήσει ἡμᾶς μακαρίους, ἄλλην δή τινα, ἔφη, «ζητητέον» ἀντὶ τῆς στρατηγικῆς. Πλάτ. Εὐθδ. 17, 290, D.

7. Σω. Βούλει οὖν, ἐπειδὴ ὁμονοοῦμεν, ὅτι «ζητητέον» περὶ οὗ μή τις οἶδεν, ἐπιχειρήσωμεν κοινῇ ζητεῖν τι ποτ' ἔστιν ἀρετή; Πλάτ. Μένων 22, 86, C.

8. Παντὸς μᾶλλον οὖν προσεκτέον τὸν νοῦν ἡμῖν αὐτοῖς, καὶ «ζητητέον» ὅστις ἡμᾶς ἑνί γε τῷ τρόπῳ βελτίους ποιήσει. Πλάτ. Μένων 37, 96, D.

9. Ἀλλ' ἐκείνους «ζητητέον» τοὺς δημιουργοὺς τοὺς εὐφυῶς δυναμένους ἰχνεύειν τὴν τοῦ καλοῦ τε καὶ εὐσχήμονος φύσιν, ἵν'... Πλάτ. Πολ. Γ, 12, 401, C.

10. «Ζητητέον» ἰδὲ 2, 54, 5. 48, 7.

11. Οὐκοῦν καὶ περὶ τούτων, ἐπειδὴ τέτταρα ὄντα τυγχάνει, ὡσαύτως «ζητητέον»; Πλάτ. Πολ. Δ, 6, 428.

12. Οὐκοῦν **ἐπεὶ** ἐπὶ μὲν τῷ ὄντι γνῶσις ἦν, ἀγνωσία δ' ἐξ ἀνάγκης ἐπὶ μὴ ὄντι, ἐπὶ τῷ μεταξὺ τούτῳ μεταξύ τι καὶ «ζητητέον» ἀγνοίας τε καὶ ἐπιστήμης, εἴτι τυγχάνει ὂν τοιοῦτον, Πλάτ. Πολ. Ε, 20, 477.

13. Πρὸς δὲ τούτοις «ζητητέον» μὴ μόνον γενναίους τε καὶ βλοσυροὺς τὰ ἤθη, ἀλλὰ καὶ ἃ τῇδε τῇ παιδείᾳ τῆς φύσεως πρόσφορα ἑκτέον αὐτοῖς. Πλάτ. Πολ. Ζ, 15, 535, ϐ.

14. Καὶ μνήμονα δὴ καὶ ἄρρατον πάντῃ φιλόπονον «ζητητέον». Πλάτ. Πολ. Ζ, 15, 535, ϐ.

15. Σκοπεῖν οὖν δὴ χρή, ὦ Σώκρατες, εἰ κατὰ νοῦν ὁ λόγος ἡμῖν οὗτος, ἥτινα ἔτ' ἄλλον ἀντ' αὐτοῦ «ζητητέον». Πλάτ. Τιμ. 4, 26, E.

16. Ἀθ. Καὶ τούτοις δὴ τοῖς τὴν καλλίστην ᾠδήν τε ζητοῦσι καὶ μοῦσαν «ζητητέον», ὡς ἔοικεν, οὐχ ἥτις ἡδεῖα, ἀλλ' ἥτις ὀρθή. Πλάτ. Νομ. Β, 10, 668, ϐ.

17. Ἀθ. Τόδε ἔμοι γε, ὦ Κλεινία, ὃ καὶ πρόσθεν εἶπον, ὡς, εἰ μὲν ταῦτα ἦν μὴ ἱκανῶς ἔργοις ἐληλεγμένα ὅτι δυνατά ἐστι γίγνεσθαι, τάχα ἦν

ἄν τι καὶ ἀντειπεῖν τῷ λόγῳ νῦν δὲ ἄλλο τι που «ζητητέον» ἐκείνῳ τῷ τοῦτον τὸν νόμον μηδαμῇ δεχομένῳ, Πλάτ. Νομ. Ζ, 12, 805, C.

18. Ἐπειδὰν δὲ τοῦθ' εὕρωμεν καὶ διακριβωσώμεθα, «ζητητέον» εἶναί φημι τὰς ἰδέας δι' ὧν ταῦτ' ἐξεργασθήσεται καὶ λήψεται τέλος, ὅπερ ὑπεθέμεθα. Ἰσοκρ. Ἐπιστλ. 6, 8.

19. Ἆρα πρῶτον μὲν «ζητητέον», ὅστις ἄρχει γαστρός τε καὶ φιλοποσίας καὶ λαγνείας καὶ ὕπνου καὶ ἀργίας; Ξενοφ. Απ. 2, 6, 1.

20. Ἆρ' οὖν, ὦ Εὐθύδημε, καὶ τἀγαθὸν οὕτω «ζητητέον» ἐστί; Ξενοφ. Απ. 4, 6, 8.

188, 1. Ὁ δὲ Ἀγησίπολις ἐπεὶ ἔγνω ὅτι εἴη αὐτῷ «ἡγετέον» τῆς φρουρᾶς καὶ τὰ διαβατήρια θυομένῳ ἐγένετο, ἐλθὼν . . . Ξενοφ. Ἑλ. 4, 7, 2.

2. Καὶ ἣν μέν γε διὰ στενῶν ὁδῶν ἐλαύνῃς, ἀπὸ παραγγέλσεως εἰς κέρας «ἡγητέον». Ξενοφ. Ἱππαρχ. 4, 3.

3. Θεαιτ. Κομιδῇ συγχωρητέον, ὃ νῦν δὴ λέξαντος ἠμφεγνόησά σου, τὸ δύο εἶναι γένη κακίας ἐν ψυχῇ, καὶ δειλίαν μὲν καὶ ἀκολασίαν καὶ ἀδικίαν ξύμπαντα «ἡγητέον» νόσον ἐν ἡμῖν, τὸ δὲ τῆς πολλῆς καὶ παντοδαπῆς ἀγνοίας πάθος αἶσχος θετέον. Πλάτ. Σοφ. 15, 228, E.

4. Ἔτι δὲ πρὸς τὰ νῦν (καλῶς καὶ ἱκανῶς δείκνυται) δοκεῖ μοι βοηθεῖν μεγαλοπρεπῶς ἡμῖν οὗτος ὁ λόγος, ὡς ἄρα «ἡγητέον» ὁμοίως τὰς τέχνας πάσας εἶναι καὶ μεῖζόν τε ἅμα καὶ ἔλαττον μετρῆσθαι μὴ πρὸς ἄλληλα μόνον, ἀλλὰ καὶ πρὸς τὴν τοῦ μετρίου γένεσιν. Πλάτ. Πολ. 25, 284, D.

5. Οὕτω καὶ ὁ ἄδικος ἐπιχειρῶν ὀρθῶς τοῖς ἀδικήμασι λανθανέτω, εἰ μέλλει σφόδρα ἄδικος εἶναι· τὸν ἁλισκόμενον δὲ φαῦλον «ἡγητέον». Πλάτ. Πολ. B, 4, 361.

189. Μεν. Ἕν σοι φράσω. τόνδ' ἐστὶν οὐχὶ «θαπτέον». Σοφ. Αἴας 1140.

190, 1. **Οἷς** ἑτέρα προσχρωμένη παντὶ κατάδηλος ὡς πάντ' ἂν διολέσειε τὰ ταύτῃ γιγνόμενα, ἢ ἐκεῖνο ἡμῖν «θαυμαστέον» μᾶλλον, ὡς ἰσχυρόν τι πόλις ἐστὶ φύσει; Πλάτ. Πολ. 40, 302.

2. Ἑλ. οὐ τἄρα σ' Ἑλένην εἰ στυγεῖς «θαυμαστέον». ἀτὰρ τίς εἶ πόθεν; τίν' ἐξαυδᾶν σε χρή; Εὐριπ. Ἑλ. 85.

3. Πολλοὶ γάρ, ὡς εἴξασιν, ἐν πολλῇ χθονί, ὀνόματα ταὔτ' ἔχουσι καὶ πόλις πόλει γυνή γυναικί τ'. οὐδὲν οὖν «θαυμαστέον». Εὐριπ. Ἑλεν. 499.

191, 1. «Θεατέον» ἰδὲ 2, 40. 13, 6. 20, 3. 79, 4.

2. Τοὺς ἄλλως λέγοντας αὖ «θεατέον», ἵν' . . . Πλάτ. Σοφ. 33, 245, E.

3. Ξε. Τὴν ἐπιτακτικὴν δὴ τέχνην πάλιν ἂν εἴη «θεατέον» εἴπῃ διέστηκε, καί μοι δοκεῖ τῇδε πῃ. Πλάτ. Πολ. 4, 460, C.

4. Καὶ πόνους γε αὖ καὶ ἀλγηδόνας καὶ ἀγῶνας αὐτοῖς «θεατέον», ἐν οἷς ταὐτὰ ταῦτα τηρητέον. ὀρθῶς, ἔφη. Οὐκοῦν, ἦν δ' ἐγώ, καὶ τρίτου εἴδους τούτοις γοητείας ἅμιλλαν ποιητέον, καὶ «θεατέον», ὥσπερ τοὺς πώλους ἐπὶ τοὺς ψόφους τε καὶ θορύβους ἄγοντες σκοποῦσιν εἰ φοβεροί, οὕτω καὶ νέους ὄντας εἰς δείματ' ἄττα κομιστέον καὶ εἰς ἡδονὰς αὖ μεταβλητέον, Πλάτ. Πολ. Γ, 20, 413, D.

5. Τὴν δὴ πρὸ τῆς οὐρανοῦ γενέσεως πυρός ὕδατός τε καὶ ἀέρος καὶ γῆς φύσιν «θεατέον» αὐτὴν καὶ τὰ πρὸ τούτου πάθη. Πλάτ, Τίμ. 17, 48, ϐ.

6. Ἀθ. Ὅθεν περ καὶ τὴν τῶν πόλεων ἐπίδοσιν εἰς ἀρετὴν μεταβαίνουσαν ἅμα καὶ κακίαν ἑκάστοτε «θεατέον». Πλάτ. Νομ. Γ, 1, 676.

192, 1. Ἀλλὰ τὸ μὲν πρόσθεν, ὦ Κῦρε, εἰκότως ἐν τῷ φανερῷ σαυτὸν παρεῖχες, δι' ἅ τε αὐτὸν εἶπας καὶ ὅτι οὐχ ἡμᾶς μάλιστα ἦν «θεραπευτέον». Ξενοφ. ΚΠ, 7, 5, 55.

2. «Θεραπευτέον» ἰδὲ 2, 67.

3. Ὅ,τι δ' ἐχρῆν μετὰ τοῦτο ἢ πιεῖν ἢ φαγεῖν οὐδὲν μᾶλλον ἢ τῷ Εὐρυπύλῳ προσέταττον, ὡς ἱκανῶν ὄντων τῶν φαρμάκων ἰάσασθαι ἄνδρας πρὸ τῶν τραυμάτων ὑγιεινούς τε καὶ κοσμίους ἐν διαίτῃ, κἂν εἰ τύχοιεν ἐν τῷ παραχρῆμα κυκεῶνα πιόντες, νοσώδη δὲ φύσει τε καὶ ἀκόλαστον οὔτε αὐτοῖς οὔτε τοῖς ἄλλοις ᾤοντο λυσιτελεῖν ζῆν, οὐδ' ἐπὶ τούτοις τὴν τέχνην δεῖν εἶναι, οὐδὲ «θεραπευτέον» αὐτούς, οὐδ' εἰ Μίδου πλουσιώτεροι εἶεν. Πλάτ. Πολ. Γ, 15, 408, ϐ.

4. Κατὰ δὲ ταὐτὰ ταῦτα καὶ τὰ μέρη «θεραπευτέον, τὸ τοῦ παντὸς ἀπομιμούμενον εἶδος. Πλάτ. Τιμ. 42, 88, C.

193, 1. Οὐκοῦν, ἔφη, ὅσα πρὸς τῇ ἀδικίᾳ ἐθήκαμεν, ταῦτα καὶ πρὸς τῇ δικαιοσύνῃ «θετέον» ἂν εἴη; Ξενοφ. Ἀπ. 4, 2, 15.

2. Ἐὰν δέ τις υἱὸν ἑαυτοῦ δεόμενον φαρμακείας καὶ μὴ προσιέμενον φάρμακον ἐξαπατήσας ὡς σιτίον τὸ φάρμακον δῷ, καὶ τῷ ψεύδει χρησάμενος οὕτως ὑγιᾶ ποιήσῃ, ταύτην αὖ τὴν ἀπάντην ποῖ «θετέον»; Δοκεῖ μοι, ἔφη, καὶ ταύτην εἰς τὸ αὐτό. Τί δ' ἐάν τις, ἐν ἀθυμίᾳ ὄντος φίλου, δείσας μὴ διαχρήσηται ἑαυτόν, κλέψῃ ἢ ἁρπάσῃ ἢ ξίφος ἢ ἄλλο τι τοιοῦτον, τοῦτο αὖ ποτέρωσε «θετέον»; Ξενοφ. Ἀπ. 4, 2, 17. [2]

3. Ἀλλὰ τίν' ἄλλην φωνὴν «θετέον» τοῖς τὸν λόγον τοῦτον λέγουσιν, ὡς νῦν γε πρὸς τὴν αὐτῶν ὑπόθεσιν οὐκ ἔχουσι ῥήματα, ἢ μὴ ἄρα τὸ οὐδ' ὅπως. Πλάτ. Θεαιτ. 28, 183, ϐ.

4. Ξε Τὸ δέ γε περὶ τὰς ἀμφισβητήσεις «θετέον» διττόν. Πλάτ. Σοφ. 12, 225, ϐ.

5. Ξε. Τοῦ δὲ ἀντιλογικοῦ τὸ μὲν ὅσον περὶ τὰ ξυμβόλαια ἀμφισβητεῖται μέν, εἰκῇ δὲ καὶ ἀτέχνως περὶ αὐτὸ πράττεται, ταῦτα «θετέον» μὲν εἶδος, ἐπεί περ αὐτὸ διέγνωκεν ὡς ἕτερον ὂν ὁ λόγος, Πλάτ. Σοφ. 12, 225, C.

6. Ξε. Ψυχὴν ἄρα ἀνόητον αἰσχρὰν καὶ ἄμετρον «θετέον». Πλάτ. Σοφ. 15, 228, D.

7. «Θετέον» ἰδὲ 2, 188, 3. 187, 4. 192, 4. 125, 15.

8. Ξε. Εἰς γόητα μὲν δὴ καὶ μιμητὴν ἄρα «θετέον» τινά. Θεαιτ. Πῶς γὰρ οὐ «θετέον», Πλάτ. Σοφ. 22, 235. [2]

9. Ξε. Ὃ δέ γε καὶ τότ' ἠμφεγνόουν, ἐν ποτέρᾳ τὸν σοφιστὴν «θετέον», οὐδὲ νῦν πω δύναμαι θεάσασθαι σαφῶς. Πλάτ. Σοφ. 23, 236, C.

10. Θεαιτ. Εἴ πέρ γε καὶ ἄλλο τι «θετέον» ὡς ὄν. Πλάτ. Σοφ. 26, 238, ϐ.

11. Ξε. Καὶ μὴν ἐκεῖνό γε ἦν τὸ ζήτημα πρῶτον, πότερον ἰδιώτην ἤ τινα τέχνην ἔχοντα «θετέον» εἶναι τὸν ἀσπαλιευτήν. Πλάτ. Σοφ. 8, 221, C.

12. Ξε. Ἀλλά τινα τέχνην αὐτὸν ἡμῖν ἔχοντα, ὡς ἔοικε, «θετέον». Πλάτ. Σοφ. 8, 221, D.

13. Ξε. Οὐκοῦν καὶ τὸ μὴ δίκαιον τῷ δικαίῳ κατὰ ταὐτὰ «θετέον» πρὸς τὸ μηδέν τι μᾶλλον εἶναι θάτερον θατέρου; Πλάτ. Σοφ. 42, 258.

14. Καί μοι λέγε, πότερον τῶν ἐπιστημόνων τιν' ἡμῖν καὶ τοῦτον «θετέον» ἢ πῶς; Πλάτ. Πολ. Ι, 258, ϐ.

15. Ξε. Φέρε δή, ταύταιν ταῖν τέχναιν ἡμῖν τὸν βασιλικὸν ἐν ποτέρα «θετέον» ; Πλάτ. Πολ. 4, 260, C.

16. ΞΕ. Διττὰς ἄρα ταύτας οὐσίας καὶ κρίσεις τοῦ μεγάλου καὶ τοῦ σμικροῦ «θετέον,» ἀλλ' οὐχ ὡς ἔφαμεν ἄρτι πρὸς ἄλληλα μόνον δεῖν, ἀλλ' ὥσπερ νῦν εἴρηται μᾶλλον τὴν μὲν πρὸς ἄλληλα λεκτέον, τὴν δ' αὖ πρὸς τὸ μέτριον· Πλάτ. Πολ. 24, 283, E.

17. Ὅσαι γὰρ σμικρὸν ἢ μέγα τι δημιουργοῦσι κατὰ πόλιν ὄργανον, «θετέον» ἁπάσας ταύτας ὡς οὔσας συναιτίους. Πλάτ. Πολ. 27, 287, D.

18. Ἐκ δ' αὖ τῶν πολλῶν τότε μὲν ἁπλῆν ἐπονομάζοντες ἐτίθεμεν δημοκρατίαν, νῦν δὲ αὖ καὶ ταύτην ἡμῖν «θετέον» διπλῆν. Πλάτ. Πολ. 41, 302, D.

19. Μετὰ δὲ τοῦτ' ἐν τοῖς γιγνομένοις αὖ καὶ ἀπείροις εἴτε διεσπασμένην καὶ πολλὰ γεγονυῖαν «θετέον,» Πλάτ. Φιλ. 5, 15, 6.

20. Τὸ δὲ τινὸς ἕνεκα γιγνόμενον εἰς ἄλλην, ὦ ἄριστε, μοῖραν «θετέον». Πλάτ. Φιλ. 33, 54, D.

21. Καὶ δὴ καὶ ἃ τὸ πρῶτον ἐλέγομεν οὐκέτι τὰ ἀναγκαῖα «θετέον», οἰκίας τε καὶ ἱμάτια καὶ ὑποδήματα, ἀλλὰ τήν τε ζωγραφίαν νικητέον καὶ χρυσὸν καὶ ἐλέφαντα καὶ πάντα τὰ τοιαῦτα «κτητέον.» Πλάτ, Πολ. B, 13, 373.

22, Εἰ δ', ὥς τισι φαίνεται, δόξα ἀληθὴς νοῦ διαφέρει τὸ μηδέν, πάνθ' ὁπόσ' αὖ διὰ τοῦ σώματος αἰσθανόμεθα, «θετέον» βεβαιότατα. Πλάτ. Τιμ. 18, 51, D.

23. Τὴν δὲ αἰτίαν τῆς ἀρχῆς αὐτῶν «θετέον» τήν δε·Πλάτ. Τίμ.36,79,C.

24. Πᾶν οὖν ὅ,τι πάσχων τις πάθος ὁπότερον αὐτῶν ἴσχει, νόσον προσρητέον, ἡδονὰς δὲ καὶ λύπας ὑπερβαλλούσας τῶν νόσων μεγίστας «θετέον» τῇ ψυχῇ. Πλάτ. Τίμ. 41, 86, 6.

25. Καὶ ζῶον οὖν τὸ τοιοῦτον ἐσόμενον ξύμμετρον «θετέον»· Πλάτ. Τίμ. 42, 87, C.

26. Ἀθ. Οὐκοῦν ὁ μὲν ἀπαίδευτος ἀχόρευτος ἡμῖν ἔσται, τὸν δὲ πεπαιδευμένον ἱκανῶς κεχορευκότα «θετέον ;» Πλάτ. Νομ. B, 2, 654, 6.

194. Τὴν δὲ εἰρηνικὴν ὄρχησιν τῇδ' αὖ «θεωρητέον» ἑκάστων εἴτε ὀρθῶς εἴτε μὴ κατὰ τὴν φύσιν τις τῆς καλῆς ὀρχήσεως ἀντιλαμβανόμενος ἐν χορείαις πρεπόντως εὐνόμων ἀνδρῶν διατελεῖ. Πλάτ. Νομ. Z, 18, 815,6.

195. Οὓς δὲ δὴ τῶν εἰς τὸν πόλεμον ἔργων ποιήσασθαί τις βούλοιτο συνεργοὺς προθύμους, τούτους παντάπασιν ἔμοι γε δοκεῖ ἀγαθοῖς «θηρατέον» εἶναι καὶ λόγοις καὶ ἔργοις. Ξενοφ. ΚΠ. 2, 4, 10.

196, 1. «Θρεπτέον» ἰδὲ 2, 62. 178, 5.

2. Σω. Καὶ μὴν ὅτι γε τὰ μὲν τῶν ἀγαθῶν «θρεπτέον» ἔφαμεν εἶναι, τὰ δὲ τῶν κακῶν εἰς τὴν ἄλλην λάθρα διαδοτέον πόλιν. Πλάτ. Τιμ. 1, 19.

197, 1. Πει. Ὄρνιθες ἀνθρώποισι νῦν εἰσιν θεοί, οἷς «θυτέον» αὐτούς, ἀλλὰ μὰ Δι' οὐ τῷ Διί. Ἀριστφ. ὄρν. 1237.

2. «Θυτέον» ἰδὲ 2, 4, 2.

198. Οἴμοι, τί δράσω, τέκνον ; οὐχὶ «ἱδρυτέον». Σοφ. Αἴας 809.

2. Ἄγε δή, τί νῷν ἐντεῦθεν ποιητέον; Οἰκ. τίδ' ἄλλο γ' ἢ ταύτην χύτραις «ἱδρυτέον ;» Ἀριστοφ. Εἰρήν. 922 καὶ 923.

199. Ἐμοὶ μὲν δοκεῖ νὴ τὴν Ἥραν ἐλευθέρῳ μὲν ἀνδρὶ εὐκτὸν εἶναι, μὴ

τυχεῖν δούλου τοιούτου, δουλεύοντα δὲ ταῖς τοιαύταις ἡδοναῖς «ἱκετευτέον» τοὺς θεοὺς δεσποτῶν ἀγαθῶν τυχεῖν. Ξενοφ. Ἀπ. 1, 5, 5. (σημ. ἔν τισι μὲν φέρεται εὐκτὸν καὶ ἱκετευτέον, ἔν τισι δὲ εὐκτέον καὶ ἱκετεύειν, περὶ ὧν ἀλλαχοῦ ποιησόμεθα μνείαν).

200. Σω. «Ἰστέον» δή· ὥσπερ γὰρ ὁμήρους ἔχομεν τοῦ λόγου τὰ παραδείγματα, οἷς χρώμενος εἶπε πάντα ταῦτα. Πλάτ. Θεαιτ. 39, 202. E.

2. «Ἰστέον» ἰδὲ 2, 30, B.

201. Εἰδ' ὄντως ἢ μή, οὐκέτ' ἄξιον τοῦτο διισχυρίζεσθαι· ἀλλ' ὅτι μὲν δὴ τοιοῦτόν τι ἰδεῖν, «ἰσχυριστέον». ἢ γάρ; Πλάτ. Πολ. Ζ, 13, 533.

202, 1. Ὀρ. «ἰτέον», ὡς ἄνανδρον ἀκλεῶς κατθανεῖν. ΠΥ. αἰνῶ τάδε. Εὐριπ. Ὀρεστ. 786.

2. Ὥστε εὐθὺς αὐτὸν παρεσκεύασε τὰς γνώμας ὡς ὁμόσε «ἰτέον» εἴη τοῖς πολεμίοις, ἢ ὁμολογητέον μηδενὸς εἶναι ἀξίους συμμάχους. Ξενοφ. ΚΠ. 2, 1, 21.

3. Ὁ δ' ἀκούσας ᾐτιᾶτο αὐτὸν ὅτι οὐ τοῦτο πρῶτον ἠρώτα πότερον λῷον εἴη αὐτῷ πορεύεσθαι ἢ μένειν, ἀλλ' αὐτὸς κρίνας «ἰτέον» εἶναι τοῦτ' ἐπυνθάνετο ὅπως ἂν κάλλιστα πορευθείη. Ξενοφ. ΚΑ. 3, 1, 7.

4. Ὅμως δὲ ἐδόκει καὶ ἐπὶ τούτους «ἰτέον» εἶναι οὕτως ὅπως δύναιντο, ὡς μὴ τεθαρρηκότες ἀναπαύσαιντο. Ξενοφ. ΚΑ. 6, 6, 30.

5. Γυναικὸς δέ ποτε οὔσης ἐν τῇ πόλει καλῆς (ᾗ ὄνομα ἦν Θεοδότη) καὶ οἵας συνεῖναι τῷ πείθοντι, μνησθέντος αὐτῆς τῶν παρόντων τινός, καὶ εἰπόντος ὅτι κρεῖττον εἴη λόγου τὸ κάλλος τῆς γυναικός, καὶ ζωγράφους φήσαντος εἰσιέναι πρὸς αὐτὴν ἀπεικασομένους, οἷς ἐκείνην ἐπιδεικνύειν ἑαυτῆς ὅσα καλῶς ἔχοι, «Ἰτέον» ἂν εἴη θεασομένους, ἔφη ὁ Σωκράτης. Ξενοφ. Ἀπ. 3, 11, 1.

6. «Ἰτέον» οὖν σκοποῦντι τὸν χρησμόν, τί λέγει, ἐπὶ ἅπαντας τούς τι δοκοῦντας εἰδέναι. Πλάτ. Ἀπ. Σ. 7, 21, E.

7. Ἡ δὲ ψυχὴ ἄρα, τὸ ἀειδές, τὸ εἰς τοιοῦτον τόπον ἕτερον οἰχόμενον γενναῖον καὶ καθαρὸν καὶ ἀειδῆ, εἰς Αἵδου ὡς ἀληθῶς, παρὰ τὸν ἀγαθὸν καὶ φρόνιμον θεόν, οἷ, ἂν θεὸς ἐθέλῃ, αὐτίκα καὶ τῇ ἐμῇ ψυχῇ «ἰτέον». Πλάτ. Φδ. 29, 80, D.

8. Ἀλλ' «ἰτέον,» ἔφη. Πλάτ. Φδ. 41, 91, C.

9. Πάλιν δὴ οὖν ἐπὶ τὸν σοφὸν Θεαίτητον «ἰτέον». Πλάτ. Θεαιτ. 17, 162, C.

10. Πρω. Οὐκοῦν «ἰτέον» ἐπὶ τὰς τούτων ξυγγενεῖς. Πλάτ. Φιλ. 28, 46, 6.

11. Καὶ πάλιν ἐπὶ τὴν τῶν ἡδονῶν πηγὴν «ἰτέον». Πλάτ. Φιλ. 39, 62, D.

12. Ἐγὼ οὖν καὶ σὺ μὴ πάθωμεν ὃ ἄλλοις ἐπιτιμῶμεν, ἀλλ' ἐπειδὴ σοὶ καὶ ἐμοὶ ὁ λόγος πρόκειται, ἐρῶντι ἢ μὴ μᾶλλον εἰς φιλίαν «ἰτέον», περὶ ἔρωτος, οἷόν τε ἔστι καὶ ἣν ἔχει δύναμιν, ὁμολογίᾳ θέμενοι ὅρον, εἰς τοῦτο ἀποβλέποντες καὶ ἀναφέροντες τὴν σκέψιν ποιώμεθα, εἴτε ὠφέλειαν εἴτε βλάβην παρέχει. Πλάτ. Φρ. 14, 237, C.

13. Ταῦτα μὲν οὖν θεῷ μελήσει, ἡμῖν δὲ πρὸς τὸν παῖδα πάλιν τῷ λόγῳ «ἰτέον». Πλάτ. Φρ. 15, 238, D.

14. Ἀλλ' ὅμως, εἰ μέλλομεν εὐδαιμονήσειν, ταύτῃ «ἰτέον», ὡς τὰ ἴχνη τῶν λόγων φέρει. Πλάτ. Πολ. Β, 8, 365, D.

15. Οὐ γὰρ δὴ ἔγωγέ πω οἶδα, ἀλλ' ὅπῃ ἂν ὁ λόγος ὥσπερ πνεῦμα φέρῃ, ταύτῃ «ἰτέον». Πλάτ. Πολ. Γ, 7, 394, D.

16. Ἔστι γοῦν σκοτεινὸς καὶ δυσδιερεύνητος· ἀλλὰ γὰρ ὅμως «ἰτέον»... «Ἰτέον» γάρ, ἔφη. Πλάτ. Πολ. Δ, 9, 9, 432, D.[2]

17. Διὰ γὰρ ταύτης φαμὲν «ἰτέον» εἶναι τὸν προκεχειρισμένον ἐν τῷ νῦν λόγον ὑφ' ἡμῶν, μέχρι περ ἂν πρὸς τὸν θεὸν ἀφίκηται. Πλάτ. Νομ. Α, 11, 643.

18. Ὁποῖα δὲ ᾄδων ἄν τις καὶ ὀρχούμενος ἀμφότερα ταῦτα πράττοι, τὸ μὲν τῶν τύπων εἴρηται καὶ καθάπερ ὁδοὶ τέτμηνται, καθ' ἃς «ἰτέον» προσδοκῶντα καὶ τὸν ποιητὴν εὖ λέγειν τό . . . . Πλάτ. Νομ. Ζ, 10, 803, Ε.

19. Γαμμάτων εἴπομεν ὡς οὐχ ἱκανῶς ἔχεις πέρι τὸ πρῶτον, ἐπικαλοῦντές τι τῇ λέξει τόδε, ὡς οὔπω διείρηκέ σοι, πότερον εἰς ἀκρίβειαν τοῦ μαθήματος «ἰτέον» τὸν μέλλοντα πολίτην ἔσεσθαι μέτριον ἢ τὸ παράπαν οὐδὲ προσοιστέον. Πλάλ. Νομ. Ζ. 14, 809, Ε.

20. Ἀθ. «Ἰτέον» ἄρα ἐπί τινα ἀκριβεστέραν παιδείαν τῆς ἔμπροσθεν. Πλάτ. Νομ. ιβ, 12, 965.

21. Τὸ δ' ἐπὶ τούτοις τέλος, εἰς θείαν γένεσιν ἅμα καὶ τὴν τῶν ὁρατῶν καλλίστην τε καὶ θειοτάτην φύσιν «ἰτέον», ὅσην ἀνθρώποις θεὸς ἔδωκε κατιδεῖν, ἥν. . . . Πλάτ. Ἐπιν. 13, 991, β.

23. «Ἰτέον» ἰδὲ 2, 61.

203. Πῶς οὖν γέρων ὢν κἀπιλήσμων καὶ βραδὺς λόγων ἀκριβῶν σκινδαλάμους μαθήσομαι; «Ἰτητέον» τί ταῦτ' ἔχων στραγγεύομαι, ἀλλ' οὐχὶ κόπτω τὴν θύραν; παῖ, παιδίον. Ἀριστφ. Νεφ. 131.

204. «Καθαιρετέον ἡμῖν ἐστι μελέτῃ. Θουκ. 1, 121, 4.

205. Πολλῶν δὴ οὖν ἕνεκεν λεκτέντι καὶ οὐ «καθευδητέον» ἐν τῇ μεσημβρίᾳ. Πλάτ. Φρ. 41, 259, D.

206. Ἆρά γε νομίζεις οἷόν τε τι εἶναι ἀνθρώπῳ περὶ μουσικῆς βουλεύεσθαι μὴ (τε) ἐπισταμένῳ περὶ μουσικῆς μηδέν, ὅπως ἢ «κιθαριστέον» εἴη αὐτῷ ἢ ἄλλο τι τῶν κατὰ μουσικὴν ποιητέον; Πλάτ. Σισυφ. 4, 289, C.

207. Πυ. φεύγειν μὲν οὐκ ἀνεκτὸν οὐδ' εἰώθαμεν· τὸν τοῦ θεοῦ δὲ χρησμὸν οὐ «κακιστέον». Εὐριπ. Ἰφ. Τ. 105.

208, 1. Ἀτὰρ «καταβατέον» γ' ἐπ' αὐτούς, ὠξυρέ. Ἀριστφ. Σφ. 1514.

2. Μκρ. Οἷον τὸ τεκεῖν· «καταβατέον»· τί γὰρ πάθω; Ἀρισφ. Λυσ. 884.

3. «Καταβατέον» οὖν ἐν μέρει ἑκάστῳ εἰς τὴν τῶν ἄλλων ξυνοίκησιν καὶ ξυνεθιστέον τὰ σκοτεινὰ θεάσασθαι. Πλάτ. Πολ. Ζ. 5, 520, C.

4. Πρεπούσῃ δὲ στολῇ ταύτας ἐσταλμένας «καταβατέον» ἐπὶ τὴν ἅμιλλαν τούτων τῶν δρόμων. Πλάτ. Νομ. Η. 4, 833, D.

209. Τῆς αὐτῆς ἢ ἄλλης οἴει τέχνης εἶναι θεραπείαν τε καὶ ξυγκομιδὴν τῶν ἐκ γῆς καρπῶν καὶ αὖ τὸ γιγνώσκειν εἰς ποίαν γῆν ποῖον φυτόν τε καὶ σπέρμα «καταβλητέον;» Πλάτ. Θεαίτ. 6, 149, Ε.

210. Ξε. Τὸ δὲ δὴ «κατανοητέον» ἰδόντι συναπάσας τὰς ἐπιστήμας αἳ εἴρηνται, ὅτι πολιτικαί γε αὐτῶν οὐδεμία. Πλάτ. Πολ. 43, 305, C.

211. Οὐ «καταπληκτέον» ἐστιν, ἄνδρες Ἀθηναῖοι, οὐδὲ προετέον, ἐὰν σωφρονῆτε, τοῖς Δημοσθένοις ἐλέοις τὴν κοινὴν καὶ δικαίαν ὑπὲρ τῆς πόλεως ἀπολογίαν. Δείναρχ. 1, 108.

212. «Κατασιωπητέον» ἰδὲ 2, 165, 2.

213, 1. Γιγνώσκων δὲ ὅτι εἰ μὴ ἱππικὸν ἱκανὸν κτήσαιτο, οὐ δυνήσοιτο κατὰ τὰ πεδία στρατεύεσθαι, ἔγνω τοῦτο «κατασκευαστέον» εἶναι, ὡς μὴ δραπετεύοντα πολεμεῖν δέοι. Ξενοφ. Ἑλ. 3. 4. 15

2. Ἐπεὶ μέντοι ἀνὰ τὰ πεδία οὐδὲ ἐν τῇ Φρυγίᾳ ἐδύνατο στρατεύεσθαι διὰ τὴν Φαρναβάζου ἱππείαν, ἔδοξεν αὐτῷ ἱππικὸν «κατασκευαστέον» εἶναι, ὡς μὴ δραπετεύοντα πολεμεῖν δέοι αὐτόν. Ξενοφ. Ἀγησ. 1, 23.

3. Ἀθ. Τί οὖν; ὃ λέγομεν νῦν, ποιητέον ἡμῖν, ἢ πῶς; τοὺς φύλακας ἀκριβεστέρους τῶν πολλῶν περὶ ἀρετῆς ἔργῳ καὶ λόγῳ «κατασκευαστέον;» Πλάτ. Νομ. ιβ, 12, 964, D.

214, 1. Καὶ ταξιάρχους δὲ καὶ πεζῶν καὶ ἱππέων ἐγίγνωσκεν ἐκ τούτων «καταστατέον» εἶναι. Ξενοφ. ΚΠ. 8, 1, 10.

2. «Καταστατέον» ἰδὲ 2, 54, 6.

3. Ἱερῶν δὲ ἱερέας, οἷς μέν εἰσι πάτριαι ἱερωσύναι καὶ αἷς, μὴ κινεῖν, εἰ δέ, οἷον τὸ πρῶτον κατοικιζομένοις εἰκὸς γίγνεσθαι περὶ τὰ τοιαῦτα, ἢ μηδενὶ ἢ τισιν ὀλίγοις, οἷς μὴ καθεστήκοι, «καταστατέον» ἱερέας τε καὶ ἱερείας νεωκόρους γίγνεσθαι τοῖς θεοῖς. Πλάτ. Νομ. 6, 7, 759, ϐ.

215. Τῶν οὖν συνειλημμένων Ἐλευσινίων «καταψηφιστέον» εἰσίν, ἵνα ταὐτὰ ἡμῖν καὶ θαρρῆτε καὶ φοβῆσθε. Ξενοφ. Ἑλ. 2, 4, 9.

2. Ὥστ' εἰ μηδενὸς ἄλλου ἕνεκα, διὰ ταῦτα «καταψηφιστέον». Δημ. 22, 37.

216, 1. Οὐ δὲ γὰρ δυνατόν· οὐδὲ «κατηγορητέον» ὡς ὁ μὲν κάμνων ἀμαθής, ὅτι τοιαῦτα δοξάζει, ὁ δὲ ὑγιαίνων σοφὸς ὅτι ἀλλοῖα· μεταβλητέον δ' ἐπὶ θάτερα· ἀμείνων γὰρ ἡ ἑτέρα ἕξις. οὕτω δὲ καὶ ἐν τῇ παιδείᾳ ἀπὸ ἑτέρας ἕξεως ἐπὶ τὴν ἀμείνω «μεταβλητέον». Πλάτ. Θεαιτ. 20, 167.[2]

2. Τὰ πρόσθεν ἐκεῖνα, ὦ Καλλίκλεις, συμβαίνει πάντα, ἐφ' οἷς σύ με ἤρου, εἰ σπουδάζων λέγοι μι, λέγοντα ὅτι «κατηγορητέον» εἴη καὶ αὑτοῦ καὶ υἱέος καὶ ἑταίρου, ἐάν τι ἀδικῇ, καὶ τῇ ῥητορικῇ ἐπὶ τοῦτο χρηστέον. Πλάτ. Γοργ. 63, 508 ϐ.

3. Ὥστ' οὐ «κατηγορητέον» τῶν πραγμάτων τούτων ἐστίν, μεθ' ὧν ἄν τις μετ' ἀρετῆς πλεονεκτήσειεν. ἀλλὰ τῶν ἀνθρώπων τῶν περὶ τὰς πράξεις ἐξαμαρτανόντων ἢ τοῖς λόγοις ἐξαπατώντων καὶ μὴ δικαίως χρωμένων αὐτοῖς. Ἰσοκρ. 3, 2.

217. Ξε. Τούτων δὴ τρίτον ἕτερον εἶδος κτημάτων πάμπολυ «κατοπτέον» πεζὸν καὶ ἔνυδρον καὶ πολυπλανὲς καὶ ἀπλανὲς καὶ τίμιον καὶ ἄτιμον, Πλάτ. Πολ. 27, 288.

218. Ὥστε «κελευστέον» τοὺς μαρτυροῦντας τὰ τοιαῦτα καὶ παρεχομένοις (μὴ) μάτην ἀπατᾶν ὑμᾶς, (ἀλλ' ἀποδεικνύναι ὅτι) τυγχάνουσι δικαιότερα λέγοντες· καὶ νόμον ὑμῖν ἀναγκάζετε παρέχεσθαι, τὸν κελεύοντα μὴ νέμειν προστάτην. Ὑπερδ. Ἀπ. 25.

219. «Κιθαριστέον» ἰδὲ 2, 205.

220, 1. Κη. Ἐν ἀσπίσιν σοι πρῶτα «κινδυνευτέον». Εὐρ. Ἱκετ. 572.

2. Ὀρ. ἀλλ' εἰ σὲ σώσει κἀμέ, «κινδυνευτέον». Εὐριπ. Ὀρ. 1022.

3. Τί δ' εἴ που «κινδυνευτέον», οὐκ ἐν ᾧ βελτίους ἔσονται κατορθοῦντες; Πλάτ. Πολ. Ε, 14, 467, ϐ.

4. Θαυμάζω τί δήποτε σαυτῷ μὲν ὑπὲρ τούτων ἅπαντα ποιητέον εἶναι νομίζεις καὶ πονητέον καὶ «κινδυνευτέον». Δημ. 10, 71.

221. «Κινητέον» ἰδὲ 2, 194, 21.

222. Ὅταν σ' ἐρωτᾷ τις καὶ πόθεν πάρει, λέγειν, Ἀχιλλέως παῖς· τὸ δ' οὐχὶ «κλεπτέον». Σοφ. Φιλ. 57.

223. «Κλητέον» ἰδὲ 1, 17.

2. «Κλητέον» δὴ τὰ αὐτὰ ὀνόματα. Πλάτ. Κρατ. 13, 294.

3. Καὶ τῆς μιμητικῆς τὸ ἐπὶ τούτῳ μέρος «κλητέον», ὅπερ εἴπομεν ἐν τῷ πρόσθεν, εἰκαστικήν;

Θεαιτ. «Κλητέον». Πλάτ. Σοφ. 23, 236, 6.[2]

4. Ξε. Τί δ' ὅταν μήτε κατὰ νόμους μήτε κατὰ ἔθη πράττῃ τις εἷς ἄρχων, προσποιῆται δὲ ὥσπερ ὁ ἐπιστήμων, ὡς ἄρα παρὰ τὰ γεγραμμένα τό γε βέλτιστον ποιητέον, ἡ δέ τις ἐπιθυμία καὶ ἄγνοια τούτου τοῦ μιμήματος ἡγουμένη, μῶν οὐ τότε τὸν τοιοῦτον ἕκαςον τύραννον «κλητέον;» Πλάτ. Πολ, 39, 301, C.

5. Σω. Οὐκοῦν ᾧ δε δίκαιον προσαγορεύειν ἑκάστην τῶν πράξεων· εἴπερ ἣ κακὸν ἀπεργάζεται κακὴν καλεῖς, καὶ ἣ ἀγαθὸν ἀγαθὴν «κλητέον». Πλάτ. Ἀλκ6. 11, 116.

6. Κρείττω γὰρ αὐτὴν αὑτῆς δικαίως φήσεις προσαγορεύεσθαι, εἴπερ, οὗ τὸ ἄμεινον τοῦ χείρονος ἄρχει, σῶφρον «κλητέον» καὶ κρεῖττον αὑτοῦ. Πλάτ. Πολ. Δ, 8, 431, 6.

7. Ἕλληνας μὲν ἄρα βαρβάροις καὶ βαρβάρους Ἕλλησι πολεμεῖν μαχομένοις τε φήσομεν καὶ πολεμίους φύσει εἶναι, καὶ πόλεμον τὴν ἔχθραν ταύτην «κλητέον». Ἕλληνας δὲ Ἕλλησιν, ὅταν τι τοιοῦτο δρῶσι, φύσει μὲν φίλους εἶναι, νοσεῖν δὲ ἐν τῷ τοιούτῳ τὴν Ἑλλάδα καὶ στασιάζειν, καὶ στάσιν τὴν τοιαύτην ἔχθραν «κλητέον». Πλάτ. Πολ. Ε, 16, 470, C. D.

8. Τοὺς αὐτὸ ἄρα ἕκαστον τὸ ὂν ἀσπαζομένους φιλοσόφους ἀλλ' οὐ φιλοδόξους «κλητέον». Πλάτ. Πολ. Ε, 22, 480.

9. Ὄνομα γὰρ οὐκ ἔχω λεγόμενον ἄλλο· ἢ τιμοκρατίαν ἢ τιμαρχίαν αὐτὴν «κλητέον». Πλάτ. Πολ. Η, 2, 545, 6.

10. Παραμυθουμένῳ δ' οὖν καὶ παραθαρρύνουσί σοι πειστέον, καὶ πρὸς οἷς θεοῖς εἶπες τούς τε ἄλλους «κλητέον» καὶ δὴ καὶ τὰ μάλιστα Μνημοσύνην. Πλάτ. Κριτίας 2, 108, D.

224, 1. Οὐ προσοιστέον ἄρα αὕτη ἡ ἡδονή, οὐδὲ «κοινωνητέον» αὐτῆς ἐραστῇ τε καὶ παιδικοῖς ὀρθῶς ἐρῶσί τε καὶ ἐρωμένοις; Πλάτ. Πολ. Γ, 12, 403, 6.

2. «Κοινωνητέον» ἰδὲ 2, 51.

225. «Κολαστέον» ἄρ' ἂν εἴη κατά γε τὸν σὸν λόγον τὸν πατέρα, εἴπερ τὸν ἀδικοῦντα δίκαιον κολάζειν. Ξενοφ. ΚΠ. 3, 1, 15.

2. «Κολαστέον» ἰδὲ 2, 20. 138, 4. 67, 4. 125, 17.

3. Καὶ τὰς μὲν ἐπιθυμίας φῂς οὐ «κολαστέον», εἰ μέλλει τις οἷον δεῖ εἶναι, ἐῶντα δὲ αὐτὰς ὡς μεγίστας πλήρωσιν αὐταῖς ἁμόθεν γέ ποθεν ἑτοιμάζειν, καὶ τοῦτο εἶναι τὴν ἀρετήν; Πλάτ. Γοργ. 47, 492, D.

4. Τὸν αὐτὸν τοίνυν τρόπον «κολαστέον» ἐστὶ τοῦτον, εἰ μέλλετε τοὺς ἄλλους πολίτας βελτίους ποιήσειν. Λυκοῦργ. κατὰ Λεωκρ. 67.

5. Ὁ μὲν δὴ νόμος οὕτω τὸν ἀνδροφόνον καὶ τὸν ἡλωκότα ἤδη διώρισεν ὡς «κολαστέον» καὶ οὔ. Δημ. 23, 34.

226. «Κομιστέον» ἰδὲ 2, 192, 4.

227. Ἔπειτα γυμνοὺς «κριτέον» ἁπάντων τούτων. Πλάτ. Γοργ. 79, 523, Ε.

228. Νεανίας οὐκ οἶδ' ὅ,τι λέγεις· τηνδεδί μοι «κρουστέον», Ἀριστοφ. Ἐκκλ. 989.

229. «Κρυπτέον» ἰδὲ 2, 33.

230, 1. Σω. Αὐτῷ ἄρα σοὶ πρῶτον «κτητέον» ἀρετήν, καὶ ἄλλῳ ὃς μέλλει μὴ ἰδίᾳ μόνον αὐτοῦ τε καὶ τῶν αὐτοῦ ἄρξειν καὶ ἐπιμελήσεσθαι, ἀλλὰ πόλεως καὶ τῶν τῆς πόλεως. Πλάτ. Ἀλκιβ. 30, 134, C.

2. «Κτητέον» ἰδὲ 2, 194, 21.

3. Ὧν ἕνεκά φαμεν τὸ νόμισμα «κτητέον» αὐτοῖς μὲν ἔντιμον, τοῖς δὲ ἄλλοις ἀνθρώποις ἀδόκιμον, Πλάτ. Νομ. Ε, 12, 742.

231. Σω. Τί δαὶ περὶ στρατηγίας ἢ κυβερνητικῆς; τὸν μὲν ἐπιστάμενον μηδετέρα τούτων εἴοι ἔχειν ἀντιβουλεύεσθαι περὶ τούτων τοῦ ἑτέρου, ὅ,τι ποιητέον εἴη αὐτῷ, ὅπως ἢ στρατηγητέον ἢ «κυβερνητέον» ἐκείνῳ αὐτῷ τῷ μὴ ἐπισταμένῳ μήτε στρατηγεῖν μήτε κυβερνᾶν; Πλάτ. Σίσυφ. 4, 389, D.

232. «Κωλυτέον» ἰδὲ 2, 20.

233. Οὐ «λειπτέον», τάδ', ἀθλίως δὲ σωστέον. Εὐριπ. Ἡρ. Μ. 1385.

2. «Λειπτέον» ἰδὲ 2, 26.

3. Ἀλλὰ ταῦτα μέν, ἦν δ' ἐγώ, καὶ μετὰ Δάμωνος βουλευσόμεθα, τίνες τε ἀνελευθερίας καὶ ὕβρεως ἢ μανίας καὶ ἄλλης κακίας πρέπουσαι βάσεις, καὶ τίνας τοῖς ἐναντίοις «ληπτέον» ῥυθμούς. Πλάτ. Πολ. Γ, 11, 400, Β.

234, 1. «Λεκτέον» δέ μοι δοκεῖ εἶναι καὶ περὶ τῶν παιδικῶν ἐρώτων. Ξενοφ. Λακ. π. 2, 12.

2. Σω. Πότερον οὖν ᾗ ἄν τῳ δοκῇ «λεκτέον» εἶναι, ταύτῃ λέγων ὀρθῶς λέξει, ἢ ἐὰν μὲν ᾗ πέφυκε τὰ πράγματα λέγειν τε καὶ λέγεσθαι καὶ ᾧ, ταύτῃ καὶ τούτῳ λέγῃ, πλέον τε τι ποιήσει καὶ ἐρεῖ, ἐὰν δὲ μή, ἐξαμαρτήσεταί τε καὶ οὐδὲν ποιήσει; Πλάτ. Κρατ. 6, 387, Β.

3. «Λεκτέον» ἰδὲ 2, 48, 2. 194, 16. 61, 5. 70, 2. 74, 8. 125, 9. 173.

4, Σω. Τί οὖν δῆτ' ἂν εἴη ἐπιστήμη, πάλιν ἐξ ἀρχῆς, ὡς ἔοικε, «λεκτέον». Καίτοι τίποτε μέλλομεν, ὦ Θεαίτητε, δρᾶν; Πλάτ. Θεαιτ. 18, 164, C.

5. «Λεκτέον» οὖν τἀληθές, ὅτι τοσούτῳ μᾶλλόν εἰσιν οἷοι οὐκ οἴονται, ὅτι οὐχὶ οἴονται. Πλάτ. Θεαιτ. 25, 176, D.

6. Ξε. Τί δέ δή τῳ τῆς διδασκαλικῆς ἄρα μέρει τῷ τοῦτο ἀπαλλάττοντι «λεκτέον;» Πλάτ. Σοφ. 16, 229, D.

7. Ξε. Διὰ ταῦτα δὴ πάντα ἡμῖν, ὦ Θεαίτητε, καὶ τὸν ἔλεγχον «λεκτέον» ὡς ἄρα μεγίστη καὶ κυριωτάτη τῶν καθάρσεών ἐστι, καὶ τὸν ἀνέλεγκτον αὖ νομιστέον, ἂν καὶ τυγχάνῃ βασιλεὺς ὁ μέγας ὤν, τὰ μέγιστα ἀκάθαρτον ὄντα, ἀπαίδευτον τε καὶ αἰσχρὸν γεγονέναι ταῦτα, ἃ καθαρώτατον καὶ κάλλιστον ἔπρεπε τὸν ὄντως ἐσόμενον εὐδαίμονα εἶναι. Πλάτ. Σοφ. 17, 230. D. E.

8. Ξε. Κινδυνεύει πρὸς μὲν ταῦτα οὐδὲν ἔτι «λεκτέον» εἶναι, Θεαίτητε· πρὸς δέ σε ἤδη τὸ μετὰ τοῦτο, ὡς ἔοικε, γίγνοιντ' ἂν ὁ λόγος. Πλάτ. Σοφ. 2, 218.

9. Ξε. Πρὸς ὅ γε «λεκτέον» ἡμῖν, ὅτι δεόμεθα παρ' αὐτῶν ἔτι πυθέσθαι σαφέστερον εἰ προσομολογοῦσι τὴν μὲν ψυχὴν γιγνώσκειν, τὴν δ' οὐσίαν γιγνώσκεσθαι. Πλάτ. Σοφ. 35. 248, C.

10. Ξε. Τί δέ; τὸ θάτερον ἄρα ἡμῖν «λεκτέον» πέμπτον; ἢ τοῦτο καὶ τὸ ὂν ὡς δύ' ἄττα ὀνόματα ἐφ' ἑνὶ γένει διανοεῖσθαι δεῖ; Πλάτ. Σοφ. 40, 255, C.

11. Ξε. Πέμπτον δὴ τὴν θατέρου φύσιν «λεκτέον» ἐν τοῖς εἴδεσιν οὖσαν, ἐν οἷς προαιρούμεθα. Πλάτ. Σοφ. 40, 255, Ð.
12. Ξε. Οὐκοῦν καὶ τὸ ὂν αὐτὸ τῶν ἄλλων ἕτερον εἶναι «λεκτέον». Πλάτ. Σοφ. 41, 257.
13. Ξε. Ὁμοίως ἄρα τὸ μὴ μέγα καὶ τὸ μέγα αὐτὸ εἶναι «λεκτέον». Πλάτ. Σοφ. 42, 258.
14. Ὃ δὲ νῦν εἰρήκαμεν εἶναι τὸ μὴ ὄν, ἢ πεισάτω τις ὡς οὐ καλῶς λέγομεν ἐλέγξας, ἢ μέχρι περ ἂν ἀδυνατῇ, «λεκτέον» καὶ ἐκείνῳ καθάπερ ἡμεῖς λέγομεν, ὅτι. . . . Πλάτ. Σοφ. 43, 259.
15. Ξε. Καὶ ταύταις δὴ ταῖς ἐναντιώσεσιν εἴτε ἀπιστεῖ τις, σκεπτέον αὐτῷ καὶ «λεκτέον» βέλτιόν τι τῶν νῦν εἰρημένων. Πλάτ. Σοφ. 43, 259, ϐ.
16. Ξε. Μιμητὴν δὴ τοῦτόν γε ἕτερον ἐκείνου «λεκτέον» οἶμαι, τὸν ἀγνοοῦντα τοῦ γιγνώσκοντος. Πλάτ. Σοφ. 51, 267, D.
17. Ὅδ' ἐστὶ πᾶσι τούτοις αἴτιον τὸ πάθος, οὐδεὶς εἴρηκε, νῦν δὲ δὴ «λεκτέον». Πλάτ. Πολ. 12, 269, C.
18. Οὗ δ' ἕνεκα τὸν μῦθον ἠγείραμεν, τοῦτο «λεκτέον», ἵνα τὸ μετὰ τοῦτο εἰς τὸ πρόσθεν περαίνωμεν. Πλάτ. Πολ. 16, 272, D.
19. Ξε. «Λεκτέον», ἐπειδὴ καὶ σὺ ἕτοιμος ἀκολουθεῖν. Πλάτ. Πολ. 20, 277, E.
20. Ξε. Τί δέ; τέταρτον ἆρ' ἕτερον εἶναι τούτων «λεκτέον», ἐν ᾧ τὰ πλεῖστά ἐστι τῶν πάλαι ῥηθέντων, ἐσθής τε ξύμπασα . . . Πλάτ. Πολ. 28, 288.
21. Ξε. Τὴν δὴ τῆς τροφῆς κτῆσιν, καὶ ὅσα εἰς τὸ σῶμα ξυγκαταμιγνύμενα ἑαυτῶν μέρεσι μέρη σώματος εἰς τὸ θεραπεῦσαί τινα δύναμιν εἴληχε, «λεκτέον» ἕβδομον ὀνομάσαντας αὐτὸ ξύμπαν ἡμῶν εἶναι τροφόν, εἰμή τι κάλλιον ἔχομεν ἄλλο θέσθαι. Πλάτ. Πολ. 28, 289.
22. Ὅσας δὲ ἄλλας λέγομεν, οὐ γνησίας οὐδ' ὄντως οὔσας «λεκτέον», ἀλλὰ μεμιμημένας ταύτην. Πλάτ. Πολ. 33, 293, E.
23. Φέρε, τὸν τῶν τοιούτων αὖ ψόγον περὶ τῆς τοιαύτης βίας, ἆρ', εἰ μέλλει μὴ καταγελαστότατος εἶναι πάντων, πάντα αὐτῷ μᾶλλον «λεκτέον» ἑκάστοτε, πλὴν ὡς αἰσχρὰ καὶ ἄδικα καὶ κακὰ πεπόνθασιν οἱ βιασθέντες ὑπὸ τῶν βιασαμένων. Πλάτ. Πολ. 35, 296, D.
24. Ξε. Τὴν δὴ βασιλικὴν συμπλοκήν, ὡς ἔοικε, «λεκτέον», ποία τ' ἐστὶ καὶ ποίῳ τρόπῳ συμπλέκουσα ποῖον ἡμῖν ὕφασμα ἀποδίδωσιν. Πλάτ. Πολ. 44, 306.
25. Ὧδε ἄρα «λεκτέον» ἐξ ἀρχῆς, ἓν εἰ μὴ ἔστι, τί χρὴ εἶναι. Πλάτ. Παρμ. 24, 160, D.
26. Τὸν δὲ νοῦν, ὡς ἔοικε, «λεκτέον» ὡς ἐμφρόνως οὐκ ἀντεποιεῖτο τῶν νικητηρίων· Πλάτ. Φιλ. 15, 23.
27. Σω. Καὶ γὰρ σύ, ὦ ἑταῖρε, τὴν σαυτοῦ· τὸ δ' ἐρωτώμενον ὅμως ἡμῖν «λεκτέον». Πλάτ. Φιλ. 15, 28, ϐ.
28. Σω. Πάλιν δὲ ἁρμοττομένης τε καὶ εἰς τὴν αὐτῆς φύσιν ἀπιούσης ἡδονὴν γίγνεσθαι «λεκτέον», εἰ δεῖ δι' ὀλίγων περὶ μεγίστων ὅ,τι τάχιστα ῥηθῆναι. Πλάτ. Φιλ. 17, 31, Θ.
29. Πρω. Μὰ Δί' οὐ ῥᾴδιον ἴσως εἰπεῖν, ὦ Σώκρατες, ἀλλ' ὅμως «λεκτέον». Πλάτ. Φιλ. 20, 34, E.

30. Σω. Τὰς μὲν τοίνυν πονηρὰς ἡδονὰς καὶ διὰ πονηρίαν οὔσας τοιαύτας ὀλίγον ὕστερον ἐροῦμεν, ἂν δοκῇ νῷν· τὰς δὲ ψευδεῖς κατ' ἄλλον τρόπον ἐν ἡμῖν πολλὰς καὶ πολλάκις ἐνούσας τε καὶ ἐγγιγνομένας «λεκτέον». Πλάτ. Φιλ. 24, 41.

31. Σω. Πάνυ μὲν οὖν· ἀλλ', ὦ Πρώταρχε, ἆρ' οὐ διττὰς αὖ καὶ ταύτας «λεκτέον»; ἢ πῶς; Πλάτ. Φιλ. 34, 56, D.

32. Πότερον ὡς μία ἑκατέρα «λεκτέον» ἢ δύο τιθῶμεν. Πλάτ. Φιλ. 34, 57.

33. Τὰ δ' ἄλλα πάντα δεύτερά τε καὶ ὕστερα «λεκτέον». Πλάτ. Φιλ. 36, 59, C.

34. Περὶ μὲν οὖν κάλλους τοῦ θεοῦ καὶ ταῦθ' ἱκανὰ καὶ ἔτι πολλὰ λείπεται, περὶ δὲ ἀρετῆς Ἔρωτος μετὰ ταῦτα «λεκτέον», τὸ μὲν μέγιστον ὅτι Ἔρως οὔτ' ἀδικεῖ οὔτ' ἀδικεῖται, οὔθ' ὑπὸ θεοῦ, οὔτε θεόν, οὔθ' ὑπ' ἀνθρώπου οὔτε ἄνθρωπον. Πλάτ. Συμπ. 19, 196, Ϭ.

35. Περὶ μὲν οὖν ἀθανασίας αὐτῆς ἱκανῶς· περὶ δὲ τῆς ἰδέας αὐτῆς ὧδε λεκτέον· οἷον μέν ἐστι, . . . Πλάτ. Φρ. 25, 246.

36. Ἀρετὴ δὲ τίς τοῦ ἀγαθοῦ ἢ κακοῦ κακία, οὐ διείπομεν, νῦν δὲ «λεκτέον». Πλάτ. Φρ. 34, 253, D.

37. Πολλῶν δὴ οὖν ἕνεκεν «λεκτέον» τι καὶ οὐ καθευδητέον ἐν τῇ μεσημβρίᾳ. Φρ. «Λεκτέον» γὰρ οὖν. Πλάτ. Φρ. 41, 259, D[2].

38. Σω. Πάνσαι. Τί δὴ οὖν οὗτος ἁμαρτάνει καὶ ἄτεχνον ποιεῖ, «λεκτέον», ἢ γάρ; Πλάτ. Φρ. 45, 263.

39. Ὦ 'γαθὲ λέγε. ἀκούσομαι γάρ.
Σω. «Λεκτέον» ἂν εἴη. Πλάτ. Ἀλκιβ. 2, 104, E.

40. Ὄντοιν δὲ τοιούτοιν, οὐδὲν ἔτι, ὡς ἐγᾦμαι, χαλεπὸν ἐπεξελθεῖν τῷ λόγῳ, οἷος ἑκάτερον βίος ἐπιμένει. «λεκτέον» οὖν. Πλάτ. Πολ. B, 5, 361, E.

41. Καὶ οὐ λεκτέοι γ' ἔφην, ὦ Ἀδείμαντε, ἐν τῇ ἡμετέρᾳ πόλει, οὐδὲ «λεκτέον» νέῳ ἀκούοντι, ὡς ἀδικῶν τὰ ἔσχατα οὐδὲν ἂν θαυμαστὸν ποιοῖ, Πλάτ. Πολ. B, 17, 378, Ϭ.

42. Οὐκοῦν ἀγαθὸς ὅ γε θεὸς τῷ ὄντι τε καὶ «λεκτέον» οὕτως; Πλάτ. Πολ. B, 18, 379.

43. Τί δὲ δή; εἰ μέλλουσιν εἶναι ἀνδρεῖοι, ἆρ' οὐ ταῦτά τε «λεκτέον» καὶ οἷα αὐτοὺς ποιῆσαι ἥκιστα τὸν θάνατον δεδιέναι; Πλάτ. Πολ. Γ, 1, 386.

44. Τὸν δὲ ἐναντίον τύπον τούτοις «λεκτέον» τε καὶ ποιητέον; Πλάτ. Πολ. Γ, 2, 387, C.

45. Τί οὖν, ἦν δ' ἐγώ, ἔτι λοιπὸν εἶδος λόγων πέρι ὁριζομένοις οἵους τε «λεκτέον» καὶ μή; Πλάτ. Πολ. Γ, 5, 392.

46. Τὰ μὲν δὴ λόγων πέρι ἐχέτω τέλος, τὸ δὲ λέξεως, ὡς ἐγᾦμαι, μετὰ τοῦτο σκεπτέον, καὶ ἡμῖν ἅ τε «λεκτέον» καὶ ὡς «λεκτέον» παντελῶς ἐσκέψεται. Πλάτ. Πολ. Γ, 6, 392, C[2].

47. Καὶ τὸ πρὸ τούτου δὴ ἀναμνήσθητι, ὅτι ἔφαμεν, ἃ μὲν «λεκτέον», ἤδη εἰρῆσθαι, ὡς δὲ «λεκτέον», ἔτι σκεπτέον εἶναι. Πλάτ. Πολ. Γ, 7, 394, C[2].

48. Ἅ τε γὰρ «λεκτέον» καὶ ὡς «λεκτέον», εἴρηται. Πλάτ. Πολ. Γ, 9, 398, Ϭ[2].

49. Ἆρ' οὖν οὐ πᾶς ἤδη ἂν [illegible]

εἶναι, εἴπερ μέλλομεν τοῖς προειρημένοις συμφωνήσειν. Πλάτ. Πολ. Γ, 10, 398, C.

50. Οὐκοῦν ἐπειδὴ τοῦτο μόλις τέλος ἔσχε, τὰ ἐπίλοιπα δὴ μετὰ τοῦτο «λεκτέον», τίνα τρόπον ἡμῖν καὶ ἐκ τίνων μαθημάτων τε καὶ ἐπιτηδευμάτων οἱ σωτῆρες ἐνέσονται τῆς πολιτείας, καὶ κατὰ ποίας ἡλικίας ἕκαστοι ἑκάστων ἁπτόμενοι; «Λεκτέον» μέν τοι, ἔφη. Πλάτ. Πολ. 5, 15, 502, D².

51. Τούτου δ' ὑπάρχοντος αὖ τὰ τούτοις ἐφεξῆς ἡμῖν «λεκτέον», τίνι τῶν ζώων αὐτὸν εἰς ὁμοιότητα ὁ ξυνιστὰς ξυνέστησε. Πλάτ. Τίμ. 6, 30, C.

52. Τῶν γὰρ ὄντων ᾧ νοῦν μόνῳ κτᾶσθαι προσήκει, «λεκτέον» ψυχήν. Πλάτ. Τίμ. 16, 46, D.

53. Δύο δὴ «λεκτέον» ἐκείνῳ, διότι χωρὶς γεγόνατον ἀνομοίως τε ἔχετον. Πλάτ. Τίμ. 18, 51, E.

54. Τρίτον δὲ αἰσθητικὸν ἐν ἡμῖν μέρος ἐπισκοποῦσι τὸ περὶ τὴν ἀκοήν, δι' ἃς αἰτίας τὰ περὶ αὐτὸ ξυμβαίνει παθήματα, «λεκτέον». Πλάτ. Τιμ. 29, 67, 6.

55. Ταῦτα δὴ πάλιν οἷον ἐξ ἀρχῆς ἡμῖν «λεκτέον», εἰ μή τι τοῖς εἰρημένοις ἐγκαλοῦμεν λόγοις. Πλάτ. Νομ. Γ, 5, 683, 6.

56. «Λεκτέον» δ' ὁποῖοί τ' εἰσὶ καὶ τίνες οἱ κριταί. Πλατ. Νομ. 5, 13, 767, C.

57. Λέγωμεν τοίνυν ἑξῆς αὐτά.

Κλ. πάνυ μὲν οὖν «λεκτέον». Πλάτ. Νομ. Ζ, 7, 796, E.

58. Τὰ δὲ περὶ τὰ ἑκούσια καὶ κατ' ἀδικίαν πᾶσαν γιγνόμενα τούτων πέρι καὶ ἐπιβουλῆς δι' ἥττας ἡδονῶν τε καὶ ἐπιθυμιῶν καὶ φθόνων, ταῦτα μετ' ἐκεῖνα ἡμῖν «λεκτέον». Πλάτ. Νομ. Θ. 9, 869, E.

59. Εἰ δὲ ἔστι μηδαμῇ ἑτέρως συμφωνῆσαι τοῖς νῦν κατὰ νόμον λεγογομένοις θεοῖς ὡς ὀρθῶς ἔχουσιν ἢ ταύτῃ, «λεκτέον», ὦ θαυμάσιε, καὶ ταύτῃ. Πλάτ. Νομ. I, 5, 891, E.

60. Τῶν κλοπαίων τε καὶ βιαίων πάντων τὰς ζημίας λεγομένας οἵας δεῖ γίγνεσθαι, «λεκτέον», ὅπως ἂν ἡμῖν παρείκωσι θεοὶ καὶ θεῶν παῖδες νομοθετεῖν. Πλάτ. Νομ. ΙΑ, 2, 934, C.

61. Θεοὺς δὲ δὴ τοὺς ὁρατούς, μεγίστους καὶ τιμιωτάτους καὶ ὀξύτατον ὁρῶντας πάντῃ, τοὺς πρώτους τὴν τῶν ἄστρων φύσιν «λεκτέον» καὶ ὅσα μετὰ τούτων αἰσθανόμεθα γεγονότα, Πλάτ. Ἐπιν. 8, 984, D.

62. Ὄντες τοιοῦτοι, δοκοῦμεν δή μοι, καὶ «λεκτέον». Πλάτ. Ἐπιν. 11, 989.

63. Τοῦτο δ' ὅτι δι' ἀμαθίαν τὴν μεγίστην ἐν ταῖς ἀρίσταις φύσεσιν οὐ γέγονε, «λεκτέον». Πλάτ. Ἐπιν. 11, 989, 6.

64. Οὐ μὴν οὐδὲ ταῦτά μοι πρότερον «λεκτέον» ἐστί, πρὶν ἂν μικρὰ προείπω περὶ αὐτῶν. Ἰσοκρ. 12, 152.

65. Ὡς οὖν οὕτως αὐτῶν διατεθησομένων σκόπει, τί σοι «λεκτέον» τούτων καὶ τί παραλειπτέον ἐστίν. Ἰσοκρ. 15, 149.

66. Ἐπειδὴ γὰρ οὐκ ἔνεστιν ἐν τῇ φύσει τῇ τῶν ἀνθρώπων ἐπιστήμην λαβεῖν, ἣν ἔχοντες ἂν εἰδεῖμεν ὅ,τι πρακτέον ἢ «λεκτέον» ἐστίν. Ἰσοκρ. 15, 271.

67. Ὡς ἐν τῇ διηγήσει «λεκτέον» τό τε πρᾶγμα καὶ τὰ πρὸ τοῦ πράγματος καὶ τὰ μετὰ τὸ πρᾶγμα καὶ τὰς διανοίας, αἷς ἑκάτερος τῶν ἀγωνι-

ζομένων χρώμενος τόδε τι πέπραχεν ἢ μέλλει πράττειν, καὶ τούτων τοῖς συμβαλλομένοις ἡμῖν χρηστέον. Ἰσοκρ. Ἀπ. 2, 3.

68. Οὔκουν οὐδ' ὑπὲρ αὐτοῦ τοῦ ποιήσασθαι τὴν πόλιν εἰρήνην οὐδὲν αὐτῷ «λεκτέον». Δημ. 19, 93.

69. Ὅτε δὲ τοῦτο μὴ ποιοῦσιν, οὐδὲ τὸν λόγον αὐτοῖς τοῦτον «λεκτέον». Δημ. 20, 24.

70. Εἰ μὲν τοίνυν ἐκείνων κατηγορεῖν βούλεταί τις ἐν τῷ παρόντι, δεῖ λέγειν ταῦτα, εἰδ' ὑπὲρ ὧν ἐγὼ τούτου κατηγόρηκα ἀπολογεῖσθαι, πάντα μᾶλλον ἢ ταῦτα «λεκτέον». Δημ. 21, 40.

71. Ὥστ' οὐ τοῦτ' αὐτῷ «λεκτέον», ἀλλ' ὡς ἢ αὐτὸς ἢ οἱ συνεπίτροποι παρέδοσαν. Δημ. 27, 52.

235. Καὶ ὑπὲρ τούτων τολμήσουσι, καὶ τοῖς λόγοις χρῶνται τούτοις, ὡς αὐτοῖς ὅλον τοῦ κλήρου «ληκτέον», ὅτι Θρασύβουλος ἐκποίητος εἰς τὸν οἶκον τοῦ Ἱππολοχίδου γέγονε, λέγοντες τοῦτο μὲν ἀληθές, ἐκεῖνο δ' οὐ προσῆκον. Ἰσαῖος 7, 23.

236, 1. Ἤδει γὰρ ὅτι, εἴ τι μάχης ποτὲ δεήσοι, ἐκ τούτων αὐτῷ καὶ παραστάτας καὶ ἐπιστάτας «ληπτέον» εἴη, σὺν οἷσπερ οἱ μέγιστοι κίνδυνοι· Ξενοφ. ΚΠ. 8, 1, 10.

2. Ἀλλὰ μὴν ἔργον γε οὐδαμοῦ «ληπτέον», ἢ εὐθὺς ἐλεγχθήσεται γελοῖος ὢν καὶ οὐ μόνον αὐλητὴς κακός, ἀλλὰ καὶ ἄνθρωπος ἀλαζών. Ξενοφ. 1, 7, 2.

3. «Ληπτέον» ἰδὲ 2, 120, 62.

4. Ἐπεὶ δὲ πολεμιστήριον ἵππον ὑπεθέμεθα ὠνεῖσθαι, «ληπτέον» πεῖραν ἁπάντων ὅσωνπερ ὁ πόλεμος πεῖραν λαμβάνει. Ξενοφ. Ἱππ. 3, 7.

5. Ξε. Ὁρᾷς οὖν, ὡς ἀληθῆ λέγεται τὸ ποικίλον εἶναι τοῦτο τὸ θηρίον, καὶ τὸ λεγόμενον οὐ τῇ ἑτέρᾳ «ληπτέον;» Πλάτ. Σοφ. 13, 226.

6. Καὶ γὰρ νῦν πρότερον ἔτι φαίνεται «ληπτέον» ἐπιθυμίαν εἶναι, τίποτ' ἔστι καὶ ποῦ γίγνεται. Πλάτ. Φιλ. 20, 34, D.

7. Σω. Τὸ τοίνυν ἀγαθὸν ἤτοι σαφῶς ἢ καί τινα τύπον αὐτοῦ «ληπτέον», ἵν' ὅπερ λέγομεν δευτερεῖα ὅτῳ δώσομεν ἔχωμεν. Πλάτ. Φιλ. 37, 61.

8. Ἔτι δὲ τὴν ἀκρίβειαν τοῦ χρόνου ἡμῖν «ληπτέον», ὡς ἀκριβῶς ἀποτελεῖ πάντα τὰ κατ' οὐρανὸν γιγνόμενα. Πλάτ. Ἐπιν. 13, 991, C.

237. Τὸ δὲ μὴ ἀποθανεῖν οὐκ ᾤετο «λιπαρητέον» εἶναι, ἀλλὰ καιρὸν ἤδη ἐνόμιζεν ἑαυτῷ τελευτᾶν. Ξενοφ. Ἀπ. Σ. 23.

238, 1. Τὴν δὲ λεπτότητα τῶν πλευρῶν καὶ γωνιῶν ὀξύτητα τῶν τε μορίων μικρότητα καὶ τῆς φορᾶς τὸ τάχος, οἷς πᾶσι σφοδρὸν ὂν καὶ τομὸν ὀξέως τὸ προστυχὸν ἀεὶ τέμνει, «λογιστέον» ἀναμιμνησκομένοις τὴν τοῦ σχήματος αὐτοῦ γένεσιν, ὅτι. . . Πλάτ. Τιμ. 21, 61, E.

2. Ἐμοὶ καὶ τοῦτο «λογιστέον» ἐστίν. Δημ. 55, 25.

239. Ἀλλὰ μέντοι εἰ μὲν ἀγαθῶν ἐπιρρεόντων προαπόλλυμαι, δῆλον ὅτι ἐμοὶ καὶ τοῖς ἐμοῖς εὔνοις «λυπητέον». εἰ δὲ χαλεπῶν . . . ἰδὲ 2, 183. Ξενοφ. Ἀπ. Σ. 27.

240. Σω. Οὐκοῦν ἢ κἀκεῖνα «λυτέον» ἢ τάδε ἀνάγκη συμβαίνειν; Πλάτ. Γοργ. 36, 480, E.

241, 1. Εἰ δὲ ἐμὲ μὲν ἐν οὐδενὶ λόγῳ ποιήσεται οὐδὲ ἀξιώσει ἐπιφανῆναι, οὔτε ἢν τὴν ἐμὴν ἐσθῆτα ἔχω οὔτε ἢν τὴν σήν, σὲ δὲ ἐπιφοιτήσει, τοῦτο ἤδη «μαθητέον» ἐστί. Ἡροδ. 7, 16, 3.

2. Οὔτε γὰρ τοξεύειν ἡμῖν «μαθητέον» ὥσπερ ταῖς παισί. Ξενοφ. ΚΠ, 4, 3, 12.

3. «Μαθητέον» ἰδὲ 2, 67, 187, 2.

4. Ποῖα δὲ ἕκαστα τούτων καὶ πόσα καὶ πότε «μαθητέον», καὶ τί μετά τινος καὶ τί χωρὶς τῶν ἄλλων, καὶ πᾶσαν τὴν τούτων κρᾶσιν, ταῦτά ἐστιν ἃ δεῖ λαβόντα ὀρθῶς πρῶτα ἐπὶ τἆλλα ἰόντα τούτων ἡγουμένων τῶν μαθημάτων μανθάνειν. Πλάτ. Νομ. Ζ, 20, 818, D.

5. Εἶτα, εἰ μὴ λέγομέν τι περὶ αὐτῶν ὀρθῶς νῦν, μαθόντες δὲ λέξομεν, συγχωρῶ κἀγὼ τό γε τοσοῦτον καὶ τοιοῦτον ὂν «μαθητέον» εἶναι. Πλατ. Νομ. Ζ, 22, 821, D.

6. Φιλ. «Μαθητέον» τἄρ' ἐστὶ πολλοὺς τῶν λόγων, εἴπερ γ' ἀποτίσω μηδέν, ἤν τι δρῶ κακόν. Ἀριστφ. Σφῆκ. 1262.

242. «Μαλακιστέον» ἰδὲ 2, 53, 2.

243, 1. Ἴων. οὐκ ἔστιν ὅστις σοι προφητεύσει τάδε. Ἐν τοῖς γὰρ αὑτοῦ δώμασιν κακὸς φανεὶς Φοῖβος δικαίως τὸν θεμιστεύοντά σοι δράσειεν ἄν τι πῆμ'. ἀπαλλάσσου, γύναι· τῷ γὰρ θεῷ τἀναντί' οὐ «μαντευτέον». Εὐριπ. Ἴων 373.

2. Τὰς δ' ἀεὶ μετ' ἀφροσύνης καὶ τῆς ἄλλης κακίας ἑπομένας πολλή που ἀλογία τῷ νῷ μιγνύναι τὸν βουλόμενον ὅτι καλλίστην ἰδόντα καὶ ἀστασιαστοτάτην μῖξιν καὶ κρᾶσιν ἐν ταύτῃ μαθεῖν πειρᾶσθαι, τίποτε ἔν τε ἀνθρώπῳ καὶ τῷ παντὶ πέφυκεν ἀγαθὸν καὶ τίνα ἰδέαν αὐτὴν εἶναί ποτε «μαντευτέον». Πλάτ. Φιλ. 39, 64.

244. Ξεν. Καὶ μὴν πρός γε τοῦτον παντὶ λόγῳ «μαχετέον», ὃς ἂν ἐπιστήμην ἢ φρόνησιν ἢ νοῦν ἀφανίζων ἰσχυρίζεται περί τινος ὁπῃοῦν. Πλάτ. Σοφ. 35, 249, C.

245, 1. Οὐκοῦν ὃ ἐξ ἀρχῆς ἐλέγομεν, τοῖς ἡμετέροις παισὶν ἐννομωτέρου εὐθὺς παιδιᾶς «μεθεκτέον», ὡς παρανόμου γιγνομένης αὐτῆς καὶ παίδων τοιούτων ἐννόμους τε καὶ σπουδαίους ἐξ αὐτῶν ἄνδρας αὐξάνεσθαι ἀδύνατον ὄν; Πλάτ. Πολ. Δ, 4, 424, Ε.

2. Λόγος τε ἐκ τοῦ φανεροῦ προείργαστο αὐτοῖς ὡς οὔτε «μισθοφορητέον» εἴη ἄλλους ἢ τοὺς στρατευομένους, οὔτε «μεθεκτέον» τῶν πραγμάτων πλείοσιν ἢ πεντακισχιλίοις. Θουκ. 8, 65, 3.

246, 1. «Μεθετέον» ἰδὲ 2, 73, 3.

2. Καὶ τοῦτον μὲν «μεθετέον», τὰ δὲ γεγονότα νῦν τῷ λόγῳ γένη διανείμωμεν εἰς πῦρ καὶ γῆν καὶ ὕδωρ καὶ ἀέρα. Πλάτ. Τιμ. 21, 55, D.

247, 1. «Μελετητέον» ἰδὲ 2, 185, 2.

2. Μηδὲν εἶπον, περὶ τούτου αὐτῷ μαχώμεθα, ἀλλ' ἡμᾶς αὐτοὺς διδάξωμεν, πότερον «μελετητέον» τοῦτο τῷ πλουσίῳ καὶ ἀβίωτον τῷ μὴ μελετῶντι. Πλάτ. Πολ. Γ, 15, 407.

3. Τοῦτο καὶ ἐν εἰρήνῃ «μελετητέον» εὐθὺς ἐκ παίδων, ἄρχειν τε ἄλλων ἄρχεσθαι θ' ὑφ' ἑτέρων. Πλάτ. Νομ. ιβ, 2, 942, C.

248. Οὔκουν, εἰ μὲν μὴ εἰσὶν ἢ μηδὲν αὐτοῖς τῶν ἀνθρωπίνων μέλει, καὶ ἡμῖν «μελητέον» τοῦ λανθάνειν. Πλάτ. Πολ. Β, 8. 365, D.

249. Ἀν. Ἡ γοῦ σὺ πρὸς μεταίχμι' οὐ «μελλητέον». Εὐριπ. Φοιν. 1279.

2. «Μελλητέον» ἰδὲ 2, 75, 5, 122, 8.

250. Ὃς εἰ μὲν θεὸς θεῶν (ἔχει) θείαν δύναμιν, πῶς ἂν τὸ ἧσσον εἴη

τοῦτον ἀπώσασθαι καὶ ἀμύνασθαι δυνατόν; εἰ δ' ἐστὶν ἀνθρώπινον νόσημα καὶ ψυχῆς ἀγνόημα, οὐχ ὡς ἁμάρτημα «μεμπτέον» ἀλλ' ὡς ἀτύχημα νομιστέον. Γοργ. Ἑλ. 19.

251, 1. Ὁ δὲ Δερκυλλίδας ἐπειδὴ ἔγνω «μενετέον» ὄν, πάλιν πέμψας πρὸς τὸν Φαρνάβαζον ἐπήρετο πότερα βούλοιτο σπονδὰς ἔχειν καθάπερ διὰ τοῦ χειμῶνος, ἢ πόλεμον. Ξενοφ. Ἑλ. 3, 2, 9.

2. Ἔοικεν, ἔφη, «μενετέον» εἶναι. Ἀλλ' εἰ δοκεῖ, ἦν δ' ἐγώ, οὕτω χρὴ ποιεῖν. Πλάτ. Πολ. Α, Ι, 328, β.

252. «Μεταβλητέον» ἰδὲ 2, 216. 193, 4.

253. «Μεταδετέον» ἰδὲ 2, 148, 2.

254, 1. Ταύτῃ γὰρ δὴ «μεταδιωκτέον» πάντα, ὅσα ἐπινοοῦμεν ἑλεῖν. Πλάτ. Τιμ. 27, 64, β.

2. Τὸ δ' ἑξῆς δὴ τούτοισι κατὰ ταὐτὰ «μεταδιωκτέον». Πλάτ. Τίμ. 33, 72, Ε.

255, 1. Πολεμικῆς δ' ἐπιστήμης καὶ μελέτης παντάπασιν οὐ «μεταδοτέον» τούτοις, οὕστινας ἐργάτας ἡμετέρους καὶ δασμοφόρους βουλόμεθα καταστήσασθαι, ἀλλ' αὐτοὺς δεῖ τούτοις τοῖς ἀσκήμασι πλεονεκτεῖν, γιγνώσκοντας ὅτι . . . Ξενοφ. ΚΠ. 7, 5, 79.

2. Σω. Εἰ δὴ μέλλεις τὰ τῆς πόλεως πράξειν ὀρθῶς καὶ καλῶς, ἀρετῆς σοι «μεταδοτέον» τοῖς πολίταις. Πλάτ. Ἀλκβ. 30, 134, β.

3. Ἀλλὰ μήν, ἦν δ' ἐγώ, «μεταδοτέον». Πλάτ. Λύσις 8, 221, D.

256. Ἀθ. Εὖ λέγεις. ἆρ' οὖν ἡμῖν τῶν νῦν οὐκ ὀρθῶς ῥηθέντων «μεταθετέον» ἓν ἢ καὶ δύο; Πλάτ. Νομ. Δ, 6, 894, D.

257. «Μεταληπτέον» ἰδὲ 2, 40, Β.

258. «Μεταστατέον» ἰδὲ 2, 25.

259. Νὴ τοὺς θεούς, ἔφη, καὶ γελοίως γε, πυκνώματ' ἄττα ὀνομάζοντες καὶ παραβάλλοντες τὰ ὦτα, οἷον ἐκ γειτόνων φωνὴν θηρευόμενοι, οἱ μέν φασιν ἔτι κατακούειν ἐν μέσῳ τινὰ ἠχὴν καὶ σμικρότατον εἶναι τοῦτο διάστημα, ᾧ «μετρητέον», οἱ δὲ ἀμφισβητοῦντες ὡς ὅμοιον ἤδη φθεγγομένων, ἀμφότεροι ὦτα τοῦ νοῦ προστησάμενοι. Πλάτ. Πολ. Ζ, 12, 531.

260, 1. «Μηχανητέον» ἰδὲ 2, 10.

2. Ἐὰν δὲ ἔλθῃ, «μηχανητέον», ὅπως ἂν διαφύγῃ καὶ μὴ δῷ δίκην ὁ ἐχθρός. Πλάτ. Γοργ. 36, 481.

3. Ἀθ. Οὐκοῦν, φαμέν, ἅπασαν «μηχανητέον» μηχανήν, ὅπως ἂν ἡμῖν οἱ παῖδες μήτε ἐπιθυμῶσιν ἄλλων μιμημάτων ἅπτεσθαι κατ' ὀρχήσεις ἢ κατὰ μελῳδίας, μήτε τις αὐτοὺς πείσῃ προσάγων παντοίας ἡδονάς; Πλάτ. Νομ. Ζ, 8, 798, Ε.

261. Εἴ τις οὖν ᾗ γέγονε καὶ ταῦτα ὄντως ἐρεῖ, «μικτέον» καὶ τὸ τῆς πλανωμένης εἶδος αἰτίας, ᾗ φέρειν πέφυκεν. Πλάτ. Τιμ. 17, 48.

262. Θε. Ἡμεῖς δέ, τοὺς νέους γὰρ οὐ «μιμητέον», φρονοῦντες οὕτως ὡς πρέπει δούλοις λέγειν, προσευξόμεθα τοῖσι σοῖς ἀγάλμασι, δέσποινα Κύπρι. Εὐριπ. Ἱππολ. 114.

2. Ἆρ' οὐ τὰ ἔξω τῆς τέχνης «μιμητέον» τοὺς ἀγαθοὺς αὐλητάς; Ξενοφ. Ἀπ. 1, 7, 2.

3. «Μιμητέον» ἰδὲ 2, 62, 85.

4. Τί δ'; ἦν δ' ἐγώ, χαλκεύοντας ἤ τι ἄλλο δημιουργοῦντας, ἢ ἐλαύ-

νοντας τριήρεις ἢ κελεύοντας τούτοις, ἤ τι ἄλλο τῶν περὶ ταῦτα «μιμητέον;» Πλάτ. Πολ. Γ, 8, 396.

263. «Μισθοφορητέον» ἰδὲ 2, 245, 2.

264. «Μνημονευτέον» ἄρα ἡμῖν, ὅτι καὶ ἡμῶν ἕκαστος, ὅτου ἂν τὰ αὑτοῦ ἕκαστον τῶν ἐν αὑτῷ πράττῃ, οὗτος δίκαιός τε ἔσται καὶ τὰ αὑτοῦ πράττων. Καὶ μάλα, ἦ δ' ὅς, «μνημονευτέον». Πλάτ. Πολ. Δ, 16, 441, D. E.

265. Ἡρ. οὔκουν τοσαῦτά γ', εἰ μέτρῳ «μοχθητέον». Εὐριπ. Ἡρ. Μ, 1251.

266. Πολλοῦ δεῖ γιγαντομαχίας τε «μυθολογητέον» αὐτοῖς καὶ ποικιλτέον, καὶ ἄλλας ἔχθρας πολλὰς καὶ παντοδαπὰς θεῶν τε καὶ ἡρώων πρὸς συγγενεῖς τε καὶ οἰκείοις αὐτῶν. Πλάτ. Πολ. Β, 17, 378, C.

267. Οὐκοῦν καὶ ἡμῖν «νευστέον» καὶ πειρατέον σώζεσθαι ἐκ τοῦ λόγου, ἤτοι δελφῖνά τινα ἐλπίζοντας ἡμᾶς ὑπολαβεῖν ἂν ἤ τινα ἄλλην ἄπορον σωτηρίαν. Πλάτ. Πολ. Ε, 4, 453, D.

268. Καλῶς ἔλεξας· οὐ σθένει «νικητέον» γυναῖκας, ἐλάταισιν δ' ἐμὸν κρύψω δέμας. Εὐριπ. Βακχ. 952.

269. «Νοητέον» δ' ἐστὶ περὶ πάντα τὰ τοιαῦτα τόδε, ὡς ἐὰν μέν τις ἕκαστα τούτων ὀρθῶς λαμβάνῃ, μέγ' ὄφελος γίγνεται τῷ παραλαμβάνοντι κατὰ τρόπον, εἰ δὲ μή, θεὸν ἄμεινον ἀεὶ καλεῖν. Πλάτ. Ἐπιν. 13, 991, D.

270, 1. «Νομιστέον» ἰδὲ 2, 234, 7, 250.

2. Θεὸν δὲ ποῖον, εἰπέ μοι, «νομιστέον;» τὸν πάνθ' ὁρῶντα καὐτὸν οὐχ ὁρώμενον. (εὑρίσκεται καὶ νοητέον) Εὐριπ. Ἀπ. 1115.

3. Ξε. Τί δέ; τὴν τοῦ λέγοντος, ὅτι πάντα οἶδε καὶ ταῦτα ἕτερον ἂν διδάξειεν ὀλίγου καὶ ἐν ὀλίγῳ χρόνῳ, μῶν οὐ παιδιὰν «νομιστέον;» Πλάτ. Σοφ. 21, 234.

4. Ξε. Τούτους δέ γε, ἐάν τε ἑκόντων ἐάν τε ἀκόντων ἄρχωσιν, ἐὰν κατὰ γράμματα ἐάν τε ἄνευ γραμμάτων, καὶ ἐὰν πλουτοῦντες ἢ πενόμενοι, «νομιστέον», ὥσπερ νῦν ἡγούμεθα, κατὰ τέχνην ἡντινοῦν ἀρχὴν ἄρχοντας. Πλάτ. Πολ. 32, 293.

5. Πότερ' οὐδένα χρὴ φόνον ὅσιον εἶναι νομίζειν ἤ τινά γ' ἔσθ' ὅσιον «νομιστέον», Δημ. 23, 74.

6. Ἔπειτα «νομιστέον» οὐχ ὃς ἂν ὑμῖν ἢ μηδὲν ἢ μικρὰ προστάττῃ τοσοῦτον ὀρθῶς λέγειν. Δημ. προοιμ. Ι.

271, 1. Καὶ γάρ, ὦ Μέγιλλέ τε καὶ Κλεινία, μηδὲ τοῦθ' ἡμᾶς λανθανέτω περὶ τόπων, ὡς οὐκ εἰσὶν ἄλλοι τινὲς διαφέροντες ἄλλων τόπων πρὸς τὸ γεννᾶν ἀνθρώπους ἀμείνους καὶ χείρους, οἷς οὐκ ἐναντία «νομοθετητέον». Πλάτ. Νομ. Ε, 16, 747, D.

2. Διὸ χαλεποὶ διορίζειν οἱ τῷ θυμῷ πραχθέντες φόνοι, πότερον ἑκουσίους αὐτοὺς ἤ τινας ὡς ἀκουσίους «νομοθετητέον». Πλτ. Νομ. Θ, 8, 867, β.

3. «Νομοθετητέον» ἰδὲ 2, 50, 10. 178, 8.

272. Νόσον μὲν δὴ ψυχῆς ἄνοιαν «ξυγχωρητέον», δύο δ' ἀνοίας γένη, τὸ μὲν μανίαν, τὸ δὲ ἀμαθίαν. Πλάτ. Τίμ. 41, 86, β.

273. Ὀδ. Δεῖ γοῦν· μέγας γὰρ σάλος, ὃν «ξυλληπτέον». Εὐριπ. Κυκλ. 472.

274, 1. Σω. Μεθείσθων δή. τί δὲ μετὰ ταῦτα; ἆρ' οὐκ εἰ μέν τινες ἀναγκαῖαι, καθάπερ ἐκεῖ, «ξυμμικτέον» καὶ ταύτας; Πλάτ. Φιλ. 29, 62, Ε.

2. «Ξυναρμοστέον» ἰδὲ 2, 120, 11.

276. «Ξυνεθιστέον» ἰδὲ 2, 208, 3.

277. Σω. Οὐκοῦν ὡσαύτως καὶ ὀνόματα οὐκ ἄν ποτε ὅμοια γένοιτο οὐδενί, εἰ μὴ ὑπάρξει ἐκεῖνα πρῶτον ὁμοιότητά τινα ἔχοντα, ἐξ ὧν ξυντίθεται τὰ ὀνόματα, ἐκείνοις ὧν ἐστὶ τὰ ὀνόματα μιμήματα; ἔστι δέ, ἐξ ὧν «ξυνθετέον», στοιχεῖα; Πλάτ. Κρατ. 40, 434, C.

278. Ὁ γὰρ ἀκούσας, ἐὰν μὲν ὄντως ᾖ φιλόσοφος οἰκεῖός τε καὶ ἄξιος τοῦ πράγματος θεῖος ὤν, ὁδόν τε ἡγεῖται θαυμαστὴν ἀκηκοέναι «ξυντατέον» τε εἶναι νῦν καὶ οὐ βιωτὸν ἄλλως ποιοῦντι· Πλάτ. Ἐπιστολ. Ζ, 340, C.

279. Τὸ δὴ φυλακτήριον, ἦν δ' ἐγώ, ὡς ἔοικεν, ἐνταῦθά που «οἰκοδομητέον» τοῖς φύλαξιν, ἐν μουσικῇ Πλάτ. Πολ. Δ, 4, 424, D.

280, 1. Ἵν' εἰδότες τὸ κέρδος ἔνθεν «οἰστέον» τὸ λοιπὸν ἁρπάζητε, καὶ μάθηθ' ὅτι οὐκ ἐξ ἅπαντος δεῖ τὸ κερδαίνειν φιλεῖν. Σοφ. Ἀντιγ. 310.

2. Ἡμεῖς δέ, τοὺν ποσὶν γὰρ «οἰστέον» κακόν, στείχωμεν, ὡς ἂν ἐν πυρᾷ θῶμεν νεκρόν. Εὐριπ. Ἀλκ. 739.

3 Ὅστις μὲν οὖν εἰς μίαν ἀποβλέπων τύχην πρὸς θεῶν κακοῦται, βαρὺ μέν, «οἰστέον» δ' ὅμως· Εὐριπ. Ἑλ. 268.

4. Χο. ἵζε νῦν πυρᾶς ἔπι. ἢν θάνῃς γὰρ ἐνθάδ' οὖσα, τοῖς ἀποκτείνασί σε προστρόπαιον αἷμα θήσεις· «οἰστέον» δὲ τὴν τύχην. Εὐριπ. Ἴων 1260.

5. Πυ. οὐχὶ Μενέλεω τρόποισι χρώμεθ'. «οἰστέον» τάδε. Εὐριπ. Ὀρέσ. 769.

6. «Οἰστέον» ἰδὲ 2, 66, 5.

7. Ξε. Ἀλλ' οὖν τοῦτό γε δῆλον, ὅτι τῶν ὄντων ἐπί τι τὸ μὴ ὂν οὐκ «οἰστέον». Πλάτ. Σοφ 25, 237, C.

281, 1. Κλ. Οὐκ «ὀκνητέον», ὦ ξένε. μανθάνω γάρ . . . Πλάτ. Νομ. Ι, 5, 891, D.

2. Ὅμως δ' ἐκ τῶν ὑπολοίπων, ἐπειδὴ συμφέρει τοῖς πράγμασιν, οὐκ «ὀκνητέον» μνησθῆναι περὶ αὐτῶν. Ἰσοκρ. 4, 74.

3. «Ὀκνητέον» ἰδὲ, 2, 60.

4. Ὅμως δ' οὐκ «ὀκνητέον» ὑπομένειν τὴν ἀπέχθειαν ταύτην τοῖς εὐνοϊκῶς πρός τινας ἔχουσιν, ἀλλὰ πειρατέον μεθιστάναι τὴν δόξαν τῶν οὕτω πρὸς τοὺς συμβουλεύοντας διακειμένων. Ἰσοκρ. 11, 3.

5. Ἔστιν οὖν οὐκ «ὀκνητέον» ἀποφήνασθαι περὶ αὐτῶν, ἃ τυγχάνω γιγνώσκων. Ἰσοκρ. Ἐπιστλ. 6, 11.

282. «Ὀλιγωρητέον» ἰδὲ 2, 176.

283. «Ὁμολογητέον» ἰδὲ 2, 124. 202, 2.

2. Σω. Ἂν δέ γε ἁμαρτανόμενον τὸ δοξαζόμενον ᾖ, τὴν δόξαν τότε ἁμαρτάνουσάν γε οὐκ ὀρθὴν «ὁμολογητέον» οὐδ' ὀρθῶς δοξάζουσαν. Πλάτ. Φιλ. 22, 37, Ε.

3. Εἰ τοιαύτην ἐρωτῴη χύτραν, καλὴν «ὁμολογητέον» εἶναι. Πλάτ. Ἱπ. Μ. 10, 288, Ε.

4. Τούτων δὲ οὕτως ἐχόντων «ὁμολογητέον» ἓν μὲν εἶναι τὸ κατὰ ταὐτὰ εἶδος ἔχον, ἀγέννητον καὶ ἀνώλεθρον. Πλάτ. Τιμ. 18, 51, Ε.

5. Τὸ θερμὸν δὴ κατὰ φύσιν εἰς τὴν αὑτοῦ χώραν ἔξω πρὸς τὸ ξυγγενὲς «ὁμολογητέον» ἰέναι· Πλάτ. Τιμ. 36, 79, D.

6. Καὶ δὴ καὶ νῦν «ὁμολογητέον» ἐμοί· Πλάτ. Νομ. Θ, 5, 860, D.

7. Ἀθ. Τί δέ; ὁπόταν ψυχὴν ἔν τισιν ὁρῶμεν, μῶν ἄλλο ἢ ταὐτὸν τούτῳ ζῆν «ὁμολογητέον;» Πλάτ. Νομ. Ι, 7, 895, C.

284. Δεῖ δὲ οὐ τοῦτο σκοπεῖν, εἰ «ὁμονοητέον» πολεμοῦσιν· «ὁμονοητέον» γὰρ καὶ πολεμοῦσι καὶ μὴ παντὸς ἕνεκα· ἀλλ' εἰ βουλομένοις πολεμεῖν καὶ ὁμονοεῖν, ὡς ἴσμεν ἅπαντες, αὐτάρκης ἐστὶν ἡ δύναμις. Αἰσχίν. Ἐπιστλ. 11, 12.[2]

285. «Ὀνειδιστέον» ἴδε 2, 120, 12.

286. Σω. Οὐκοῦν καὶ «ὀνομαστέον» ᾗ πέφυκε τὰ πράγματα ὀνομάζειν τε καὶ ὀνομάζεσθαι καὶ ᾧ, ἀλλ' οὐχ ᾗ ἂν ἡμεῖς βουληθῶμεν, εἴπερ τι τοῖς ἔμπροσθεν μέλλει ὁμολογούμενον εἶναι; Πλάτ. Κρατ. 6, 387, D.

287. Μετὰ ταῦτα «ὁπλιστέον» καὶ ἵππους καὶ ἱππέας ὡς αὐτοὶ μὲν ἥκιστα τιτρώσκοιντ' ἄν, βλάπτειν δὲ τοὺς πολεμίους μάλιστα δύναιντ' ἄν. Ξενοφ. Ἱππρχ. 1, 6.

288. Οὐκ ἐμοὶ μὲν ἄξιόν ἐστ' ἀγανακτεῖν καὶ βαρέως φέρειν, ὑμῖν δὲ τοῖς ἄλλοις παριδεῖν, πολλοῦ γε καὶ δεῖ, ἀλλὰ πᾶσιν ὁμοίως «ὀργιστέον», Δημ. 21, 123.

289. «Ὁριστέον» ἴδε 2, 109, 4.

290. «Παιδευτέον» δ' ἐν ἀμφοτέροις, πρότερον δ' ἐν τοῖς ψευδέσιν; Πλάτ. Πολ. Β, 17, 377.

2. Ἆρ' οὖν, ὃ λέγω, πρὸς θεῶν, οὕτως οὐδὲ μουσικοὶ πρότερον ἐσόμεθα, οὔτε αὐτοὶ οὔτε οὕς φαμεν ἡμῖν «παιδευτέον» εἶναι τοὺς φύλακας, πρὶν ἂν . . . Πλάτ. Πολ. Γ, 12, 402, C.

3. Ἦ οὖν ἐκείνοις ἐπιμελέστερον «παιδευτέον» ἢ τοῖς φύλαξι τοὺς αὐτῶν ἐμπειρίᾳ τε καὶ θέᾳ τῶν προσηκόντων; Πλάτ. Πολ. Ε, 14, 467.

4. Ἐν δὲ τούτοις πᾶσι διδασκάλους ἑκάστων πεπεισμένους μισθοῖς οἰκοῦντας ξένους διδάσκειν τε πάντα ὅσα πρὸς τὸν πόλεμόν ἐστι μαθήματα τοὺς φοιτῶντας ὅσα τε πρὸς μουσικήν, οὐχ ὃν μὲν ἂν ὁ πατὴρ βούληται, φοιτῶντα, ὃν δ' ἂν μή, ἐῶντα τὰς παιδείας, ἀλλὰ τὸ λεγόμενον πάντ' ἄνδρα καὶ παῖδα κατὰ τὸ δυνατόν, ὡς τῆς πόλεως μᾶλλον ἢ τῶν γεννητόρων ὄντας, «παιδευτέον» ἐξ ἀνάγκης. Πλάτ. Νομ. Ζ, 11, 804, D.

291. Ἥρας δὲ δεσμοὺς ὑπὸ υἱέος καὶ Ἡφαίστου ῥίψεις ὑπὸ πατρός, μέλλοντος τῇ μητρὶ τυπτομένῃ ἀμύνειν, καὶ θεομαχίας ὅσας Ὅμηρος πεποίηκεν οὐ «παραδεκτέον» εἰς τὴν πόλιν, οὔτ' ἐν ὑπονοίαις πεποιημένας οὔτε ἄνευ ὑπονοιῶν. Πλάτ. Πολ. Β, 17, 378, D.

2. Εἰδέναι δέ, ὅτι ὅσον μόνον ὕμνους θεοῖς καὶ ἐγκώμια τοῖς ἀγαθοῖς ποιήσεως «παραδεκτέον» εἰς πόλιν. Πλάτ. Πολ. Ι, 7, 607.

292, 1. Σω. Σωμάτων δὲ χρημάτων τὴν ἐπιμέλειαν ἑτέροις «παραδοτέον». Πλάτ. Ἀλκβ. 27, 132, C.

2. Τὸ δὴ μεγαλοπρεπὲς οὖν καὶ τὸ πρὸς ἀνδρείαν ῥέπον ἀρρενωπὸν φατέον εἶναι, τὸ δὲ πρὸς τὸ κόσμιον καὶ σῶφρον μᾶλλον ἀποκλῖνον θηλυγενέστερον ὡς ὂν «παραδοτέον» ἔν τε τῷ νόμῳ καὶ λόγῳ. Πλάτ. Νομ. Ζ, 10, 802, E.

3. Ἐάν γε μὴν οὗτος ἡμῖν ὁ θεῖος γένηται ξύλλογος, ὦ φίλοι ἑταῖροι, «παραδοτέον» τούτῳ τὴν πόλιν. Πλάτ. Νομ. ιϐ, 14, 969, ϐ.

293, 1. Εἰ μὲν ἐρᾷς χρημάτων καὶ μείζονος δυναστείας καὶ κινδύνων, δι' ὧν αἱ κτήσεις τούτων εἰσίν, ἑτέρους σοι συμβούλους «παρακλητέον». Ἰσκρ. Ἐπιστλ. 7, 7.

2. Τὸ δ' ἡμέτερον «παρακλητέον», ᾗ ῥᾷστ' ἂν ὑμεῖς μὲν μάθοιτε, ἐγὼ

δὲ ἢ διανοοῦμαι μάλιστ' ἂν περὶ τῶν προκειμένων ἐνδειξαίμην. Πλάτ. Τιμ. 5, 27, D.

3. Ἀθ. Ἄγε δή, θεὸν εἴποτε «παρακλητέον» ἡμῖν, νῦν ἔστω τοῦτο οὕτω γενόμενον. Πλάτ. Νομ. Ι, 6, 893, 6.

294. Ἀλλὰ μὴν καὶ τῇ μεγαλογνωμοσύνῃ γε ὡς εὐκαίρως ἐχρῆτο οὐ «παραλειπτέον». Ξενοφ. Ἀγησ. 8, 3.

2. «Παραλειπτέον» ἰδὲ 2, 234, 65.

3. Πρὸς δὲ τὴν πολιτείαν οὐ δέ γε τοῦτο «παραλειπτέον» Ἰσοκρ. 16, 36.

4. Οὐ μὴν ἀλλὰ καὶ περ τούτων οὕτως ἐχόντων οὐ «παραλειπτέον» ἐστὶ τὰ περὶ τῆς πόλεως ἀλλὰ πειρατέον παρακαλέσαι σε πρὸς τὴν οἰκειότητα καὶ τὴν χρῆσιν αὐτῆς. Ἰσοκρ. Ἐπιστλ. 2, 14.

295. Πῶς οὐχὶ πολλοὺς ἦν «παραληπτέον» μάρτυρας; Δημ. 34, 30.

296. «Παραλυτέον» ἰδὲ 2, 122, 13.

297. Τὸ δὲ ἡγούμενον μὲν θεοὺς εἶναι, μὴ φροντίζειν αὐτοὺς τῶν ἀνθρωπίνων πραγμάτων, «παραμυθητέον». Πλάτ. Νομ. Ι, 10, 899, D.

298, 1 Τὸ μέντοι μετὰ τοῦτο (κράτιστον ἡμῖν) αὐτοῖς «παρασκευαστέον» Ξενοφ. ΚΠ, 7, 5, 78.

2. Ἔπειτα ὅτι ἐκείνους πολλοὶ ἐπαινοῦσι, καὶ τούτῳ πολλοὺς ἐπαινέτας «παρασκευαστέον». Ξενοφ. Ἀπ. 1, 7, 2.

3. Ἐκ τούτων «παρασκευαστέον» ὅπως εὐπειθεῖς οἱ ἄνδρες ὦσιν· Ξενοφ. Ἱππαρχ. 1, 7.

4. Σω. Οὐκ ἄρα ἐξουσίαν σοι οὐδ' ἀρχὴν «παρασκευαστέον» σαυτῷ ποιεῖν ὅ,τι ἂν βούλῃ, οὐδὲ τῇ πόλει, ἀλλὰ δικαιοσύνην καὶ σωφροσύνην. Πλάτ. Ἀλκ6. 30, 134, C.

5. Ἐὰν δὲ ἄλλον ἀδικῇ ὁ ἐχθρός, παντὶ τρόπῳ «παρασκευαστέον» καὶ πράττοντα καὶ λέγοντα, ὅπως μὴ δῷ δίκην μηδὲ ἔλθῃ πρὸς τὸν δικαστήν. Πλάτ. Γοργ. 36, 480, E.

6. «Παρασκευαστέον» ἰδὲ 2, 67, 4.

7. Σω. Καὶ ἐπὶ τοῦτο ἄρα, ὡς ἔοικε, «παρασκευαστέον» ἐστὶ δύναμίν τινα καὶ τέχνην, ὅπως μὴ ἀδικήσωμεν Πλάτ. Γοργ. 65, 510.

8. Ἀληθῆ, ἦν δ' ἐγώ, λέγεις· ἀλλὰ σὺ πρῶτον μὲν ἡγεῖ «παρασκευαστέον» τὸ μήποτε κινδυνεῦσαι; Πλάτ. Πολ. Β, 14, 467, 6.

9. Τὸ δὲ δὴ παιδαγωγῆσον αὐτὸ μᾶλλόν που καὶ πρότερον «παρασκευαστέον» εἰς δύναμιν ὅτι κάλλιστον καὶ ἄριστον εἰς τὴν παιδαγωγίαν εἶναι. Πλάτ. Τόμ. 43, 89, D.

299. «Παραχωρητέον» ἰδὲ 2, 62.

300. Ὥστε οὐδεμία σοι πρόφασίς ἐστιν ὡς οὐ «παρεκτέον» σοι ἡμῖν γέλωτα. Ξενοφ. ΚΠ. 2, 2, 15.

301. Τὰ δὲ ἀπ' ὀρθῆς πάλης, ἀπ' αὐχένων καὶ χειρῶν καὶ πλευρῶν ἐξειλήσεως, μετὰ φιλονεικίας τε καὶ καταστάσεως διαπονούμενα (μετ') εὐσχήμονος, ῥώμης τε και ὑγιείας ἕνεκα, ταῦτ' εἰς ἅπαντα ὄντα χρήσιμα οὐ «παρετέον», ἀλλὰ προστακτέον μαθηταῖς τε ἅμα καὶ τοῖς διδάξουσιν, ὅταν ενταῦθ' ὦμεν τῶν νόμων, τοῖς μὲν πάντα τὰ τοιαῦτα εὐμενῶς δωρεῖσθαι, τοῖς δὲ παραλαμβάνειν ἐν χάρισιν. οὐδ' ὅσα ἐν τοῖς χοροῖς ἐστὶν αὖ μιμήματα προσήκοντα μιμεῖσθαι, «παρετέον», κατὰ μὲν τὸν τόπον τὸν δε Κουρήτων ἐνόπλια παίγνια, κατὰ δὲ Λακεδαίμονα Διοσκόρων. Πλάτ. Νομ. Ζ, 6, 796+6.

302. Διὰ δὲ τὴν ἐπιείκειαν τὴν Ἀριστογείτονος τὸ τὸ χρήσιμον αὐτὸν ὑμῖν εἶναι «παροπτέον» τι καὶ παρανομοῦντα αὐτόν. Δημ. 26, 16.

303, 1. Πρῶτον μὲν οὖν, ἔφη, «παυστέον» ἐστὶ προειδότας αὐτοὺς τὸν θάνατον· νῦν γὰρ προΐσασι. Πλάτ. Γοργ. 79, 523, D.

2. Ὧν ἕνεκα «παυστέον» τοὺς τοιούτους μύθους, μὴ ἡμῖν πολλὴν εὐχέρειαν ἐντίκτωσι τοῖς νέοις πονηρίας. Πλάτ. Πολ. Γ, 5, 391, E.

3. «Παυστέον» ἰδὲ, 2, 11, 5. 175.

304. Ἐπειδὴ δ' οἱ λόγοι τοιαύτην ἔχουσι τὴν φύσιν ὥσθ' οἷόν τ' εἶναι περὶ τῶν αὐτῶν πολλαχῶς ἐξηγήσασθαι, καὶ τά τε μεγάλα ταπεινὰ ποιῆσαι, καὶ τοῖς μικροῖς μέγεθος περιθεῖναι, καὶ τά τε παλαιὰ καινῶς διελθεῖν καὶ περὶ τῶν νεωστὶ γεγενημένων ἀρχαίως εἰπεῖν, οὐκέτι φευκτέον ταῦτ' ἐστί, περὶ ὧν ἕτεροι πρότερον εἰρήκασιν, ἀλλ' ἄμεινον ἐκείνων ειπεῖν «πειρατέον». Ἰσοκράτ. 4, 8.

2. Ἐκεῖνος γὰρ φυγὼν παρ' ἡμῶν καὶ τοὺς ἄλλους ὁρῶν τοὺς πρὸ αὐτοῦ ταύτῃ τῇ συμφορᾷ κεχρημένους ἐπτηχότας διὰ τὸ μέγεθος τὸ τῆς πόλεως, οὐ τὴν αὐτὴν γνώμην ἔσχεν ἐκείνοις ἀλλ' οἰηθεὶς «πειρατέον» εἶναι βίᾳ κατελθεῖν προείλετο πολεμεῖν πρὸς αὐτήν. Ἰσοκρ. 5, 58.

3. «Πειρατέον» ἰδὲ 2, 281, 4. 294, 4. 17, 2. 74. 67. 79, 4. 267.

4. Ὅμως δὲ «πειρατέον» οὕτως ὅπως ἂν δυνώμεθα φανερὸν καταστῆσαι τὴν τούτων παρανομίαν. Ἰσοκρ. 14, 4.

5. Ἢν δὲ ἐπὶ σοῦ ἀναβῶσιν, ὡς ἀποστρέψεις μὲν τοὺς παῖδας αὐτῶν τῶν πολυτελῶν τε καὶ μανικῶν ἱππωνιῶν, ἐπιμελήσει δὲ ὡς ἂν ταχὺ ἱππικοὶ γίγνοιντο· λέγοντα δὲ οὕτω καὶ ποιεῖν ταῦτα «πειρατέον».Ξενοφ.Ἱππαρχ.1, 12.

6. Ξε. «Πειρατέον» ἔτι σαφέστερον φράζειν εὐνοίᾳ τῆς σῆς φύσεως, ὦ Σώκρατες. Πλάτ. Πολ. 6, 262, C.

7. Ξε. Σω. Δῆλον ὅτι τοῦτό πῃ δρᾶν «πειρατέον». Πλάτ. Πολ, 42, 304.

8. Σω. «Πειρατέον», ἀπ' αὐτῆς δὲ τῆς Θεοῦ, ἣν ὅ δε Ἀφροδίτην μὲν λέγεσθαί φησι, τὸ δ' ἀληθέστατον αὐτῆς ὄνομα ἡδονὴν εἶναι. Πλάτ. Φιλ. 3, 12, ϐ.

9. Σω. Πάνυ μὲν οὖν οὐκ εὐθὺς δῆλά ἐστιν ἃ λέγω, «Πειρατέον» μὴν δηλοῦν. Πλάτ. Φιλ. 31, 51, ϐ.

10. Σω. Ἀλλ' εὖ μὲν λέγεις, καὶ «πειρατέον» οὕτω ποιεῖν Πλάτ. Φιλ. 12, 24, E.

11. Ἐπαινεῖν μὲν οὖν δεῖ πάντας θεούς, ἃ δ' οὖν ἑκάτερος εἴληχε «πειρατέον» εἰπεῖν. Πλάτ. Συμπ. 8, 180, E.

12. Ὅσον οὖν δυνατόν, «πειρατέον» μὴ ἐλλείπειν. Πλάτ.Συμπ.19, 196, D.

13. Πῇ δὴ οὖν θνητὸν καὶ ἀθάνατον ζῶον ἐκλήθη, «πειρατέον» εἰπεῖν. Πλάτ Φρ. 25, 246. ϐ.

14. Τὸ δὲ ποιοῦν εἶναι καλά, ὅπερ νῦν δὴ εἶπον, ἐάν τε φαίνηται ἐάν τε μή, «πειρατέον» λέγειν τί ἐστι. Πλάτ. Ἱπ. Μ. 17, 294, C.

15. «Πειρατέον», ἦν δ' ἐγώ, ἐπεὶ καὶ σὺ οὕτω μεγάλην ξυμμαχίαν παρέχει. Πλάτ. Πολ. E, 18, 474, ϐ.

16. Τὰ δὲ παθήματα αὐτῶν δι' ἃς αἰτίας γέγονε «πειρατέον» ἐμφανίζειν. Πλάτ. Τίμ. 26, 61, C.

17. Τὰ δ' ἐν ἰδίοις μέρεσιν ἡμῶν γιγνόμενα, τά τε πάθη καὶ τὰς αἰτίας αὐτῶν δρώντων, «πειρατέον» εἰπεῖν, ἄν πῃ δυνώμεθα. Πλάτ.Τίμ. 28, 65, ϐ.

18. Ὅτι δὲ τὰ ῥηθησόμενα πλείονος συγγνώμης δεῖται χαλεπώτερα ὄντα, τοῦτο «πειρατέον» πῃ διδάξαι. Πλάτ. Κριτίας 1, 107.

19. Τῆς δ' ἄλλης χώρας ὡς ἡ φύσις εἶχε καὶ τὸ τῆς διακοσμήσεως εἶδος, ἀπομνημονεῦσαι «πειρατέον». Πλάτ. Κριτίας 10, 118.

20. Ἀθ. Τὰ μὲν τοίνυν ὑμέτερα ἀκούειν, ὡς ἔοικεν, ἕτοιμ' ἂν εἴη· τὰ δ' ἐμὰ βούλεσθαι μὲν ἕτοιμα, δύνασθαι δὲ οὐ πάνυ ῥᾴδια, ὅμως δὲ «πειρατέον». Πλάτ. Νομ. Α, 11, 643.

21. Ἀθ. Τοῦτ' αὐτὸ δὴ νῦν, ὡς ἔοιχ', ἡμῖν ἤδη «πειρατέον» φράζειν. Πλάτ. Νομ. Α, 14, 646, Ε.

22. Ὥστε τόν γε νομοθέτην, εἰ τοῦθ' οὕτως ἔχει, «πειρατέον» ταῖς πόλεσι φρόνησιν μὲν ὅσην δυνατὸν ἐμποιεῖν, τὴν δ' ἄνοιαν ὅτι μάλιστα ἐξαιρεῖν. Πλάτ. Νομ. Γ, 688, Ε.

23. Ἃ δὲ λέγω, δηλῶσαι «πειρατέον» οἷον δείγματα ἐξενεγκόντα εἰς φῶς. Πλάτ. Νομ. Ζ, 1, 788, C.

24. Ἀθ. Τίνα οὖν ἂν τρόπον εὐθὺς ἐμφύοιθ' ἡμῖν ὁπότερον βουληθεῖμεν τῷ νεογενεῖ, φράζειν δὴ «πειρατέον» ὅπως τις καὶ καθ' ὅσον εὐπορεῖ τούτων. Πλάτ. Νομ. Ζ, 2, 791, D.

25. Πειρῶ περὶ αὐτοῦ τό γε τοσοῦτον φράζειν ὡς σαφέστατα. Ἀθ. «πειρατέον» οὐ γάρ . . . Πλάτ. Νομ. Ζ, 22, 882.

26. Κατὰ τίνα δὲ τρόπον ἐστὸν δύο, εἰ μὴ τῷ τε ἀκουσίῳ καὶ τῷ ἑκουσίῳ διαφέρετον ἑκάτερον, ἀλλὰ ἄλλῳ τινὶ δή ποτε, «πειρατέον» ἀμῶς γέ πως δηλοῦν. Πλάτ. Νομ. Θ, 6, 861, D.

27. Ἀθ. «Πειρατέον» τοίνυν ὡς κελεύετε δρᾶν καὶ λέγειν. Πλάτ. Νομ. Θ, 7, 863.

28. «Πειρατέον» γὰρ τῷ τοὺς νόμους σοι τιθέντι νῦν καὶ εἰς αὖθις διδάσκειν περὶ αὐτῶν τούτων ὡς ἔχει. Πλάτ. Νομ. Ι, 3, 888, D.

29. Ὅμως δὲ «πειρατέον» εὐθυντάς τινας ἀνευρίσκειν θείους. Πλάτ. Νομ. ιβ, 3, 945, C.

30. Ὅθεν μοι σκοπουμένῳ καὶ διστάζοντι, πότερον εἴη πορευτέον ἢ πῶς, ὅμως ἔρρεψε δεῖν, εἴ ποτέ τις τὰ διανοηθέντα περὶ νόμων τε καὶ πολιτείας ἀποτελεῖν ἐγχειρήσοι, καὶ νῦν «πειρατέον» εἶναι· Πλάτ. Ἐπιστλ. Ζ, 328, C.

305, 1. Οἰδ. «Πειστέον», καὶ μηδὲν ἡδύ. Σοφ. Οἰδ. Τ. 1516.

2. Ὀδυσ. Φημί. «πειστέον» τάδε. Σοφ. Φιλ. 994.

3. Τί ταῦτ' ἀλύω ; «πειστέον» πατρὸς λόγοις. Εὐριπ. Ἱππολ. 1182.

4. Ἀλλ' εὖ γὰρ εἶπας, «πειστέον»· χωρεῖν χρεὼν ὅποι χθονὸς κρύψαντε λήσομεν δέμας. Εὐρ. Ἰφ. Τ, 118.

5. Εἰδ' αὖ τι πράξαιτ' ἀγαθὸν ἀττικωνικοὶ κἄλθοιεν οἱ Λάκωνες εἰρήνης πέρι, ἐλέγετ' ἂν ὑμεῖς (εὐθὺς· ἐξαπατώμεθα νὴ τὴν Ἀθηνᾶν), νὴ Δί', οὐχὶ «πειστέον»· ἥξουσι καὖθις, ἢν ἔχωμεν τὴν πόλιν. Ἀριστρ. Εἰρήν. 218.

6. Ξαν. φέρε δὴ ταχέως αὐτ'· οὐ γὰρ ἀλλὰ «πειστέον». Ἀριστρ. Βατραχ. 498.

7. Ἱκανὸς μὲν γὰρ ὥς τις καὶ ἄλλος φροντίζειν ἦν ὅπως ἔχοι ἡ στρατιὰ αὐτῷ τὰ ἐπιτήδεια καὶ παρασκευάζειν ταῦτα, ἱκανὸς δὲ καὶ ἐμποιῆσαι τοῖς παροῦσιν ὡς «πειστέον» εἴη Κλεάρχῳ. Ξενοφ. ΚΑ, 2, 6, 8.

8. Οὔκουν δεῖ οὔτε ἑνὸς ἀνδρὸς ἕνεκα οὔτε δυοῖν ἡμᾶς τοὺς ἄλλους τῆς Ἑλλάδος ἀπέχεσθαι, ἀλλὰ «πειστέον» ὅ,τι ἂν κελεύωσι· Ξενοφ. ΚΑ, 6, 6, 14.

9. «Πειστέον» ἰδὲ 2, 4, 2. 20, 3. 56. 223, 10.

10. Σω. «Πειστέον», ὦ Πρώταρχε· οὐδὲ γὰρ χαλεπὸν οὐδὲν ἐπιτάττεις· Πλάτ. Φιλ. 15, 28, C.

11. Σω. «Πειστέον», ὦ Νικία τε καὶ Λάχης, Λυσιμάχῳ καὶ Μελησίᾳ. Πλάτ. 15, 189, D.

12. Πρω. Ὀρθῶς τοι λέγει Σωκράτης, καὶ αὐτῷ «πειστέον». Πλάτ. Φιλ. 15, 28, 6.

13. «Πειστέον» τοίνυν, ἦν δ' ἐγώ, καὶ ἀνάγκη, ὡς ἔοικε· σὺ γὰρ ἄρχεις· ἀλλ' ἐρώτα. Πλάτ. Εὐθδ. 16, 287, D.

14. Ταῦτα πειθώμεθα, ὦ Ἱππία; ἐὰν γὰρ σὺ κελεύῃς, «πειστέον». Πλάτ. Ἱπ. Μ. 5, 284, 6.

15. Οἱ δ' αὐτοὶ οὗτοι λέγουσιν, ὡς εἰσὶν οἷοι θυσίαις τε καὶ εὐχωλαῖς ἀγανῇσι καὶ ἀναθήμασι παράγεσθαι ἀναπειθόμενοι· οἷς ἢ ἀμφότερα ἢ οὐδέτερα «πειστέον»· Πλάτ. Πολ. Β, 8, 365, Ε.

16. Δεῖ δέ γε οὐχ, ὡς ἄρτι ἡμῖν ὁ λόγος ἐσήμαινεν· ᾧ «πειστέον», ἕως ἄν τις ἡμᾶς ἄλλῳ καλλλίονι πείσῃ. Πλάτ. Πολ. Γ, 3, 388, Ε.

17. Καὶ αὖ τὰς τοῦ ἑτέρου ποταμοῦ Σπερχειοῦ ἱερὰς τρίχας Πατρόκλῳ ἥρωϊ, ἔφη, κόμην ὀπάσαιμι φέρεσθαι, νεκρῷ ὄντι, καὶ ὡς ἔδρασε τοῦτο, οὐ «πειστέον». Πλάτ. Πολ, Γ, 4, 391, 6.

18. Σόλωνι γὰρ οὐ «πειστέον», ὡς γηράσκων τις πολλὰ δυνατὸς μανθάνειν, ἀλλ' ἧττον ἢ τρέχειν, νέων δὲ πάντες οἱ μεγάλοι καὶ οἱ πολλοὶ πόνοι. Πλάτ. Πολ. Ζ, 15, 536, D.

19. Περὶ δὲ τῶν ἄλλων δαιμόνων εἰπεῖν καὶ γνῶναι τὴν γένεσιν μεῖζον ἢ καθ' ἡμᾶς, «πειστέον» δὲ τοῖς εἰρηκόσιν ἔμπροσθεν, ἐκγόνοις μὲν θεῶν οὖσιν, ὡς ἔφασαν, σαφῶς δέ που τούς γε αὐτῶν προγόνους εἰδόσιν. Πλάτ. Τίμ. 13, 40, D.

20. Κλ. Ὀρθῶς, ὦ ξένε Ἀθηναῖε, εἴρηκας, καὶ «πειστέον». Πλάτ. Νομ. Α, 7, 734, C.

306. Εἰ δὲ δέοι καὶ στρατηγῶν που ἄνευ αὐτοῦ, ᾔδει ὅτι ἐκ τούτων «πεμπτέον» εἴη· καὶ πόλεων δὲ καὶ ὅλων ἐθνῶν φύλαξι καὶ σατράπαις ᾔδει ὅτι τούτων τισὶν εἴη «χρηστέον» καὶ πρέσβεις γε τούτων τινὰς «πεμπτέον», ὅπερ ἐν τοῖς μεγίστοις ἡγεῖτο εἶναι εἰς τὸ ἄνευ πολέμου τυγχάνειν ὧν δέοιτο. Ξενοφ. ΚΠ. 8, 1, 11.[2]

2. Τοῖς δ' οὖν Λακεδαιμονίοις, ἐπεὶ ἤκουσαν τὸ πρᾶγμα, βουλευομένοις ἐδόκει οὐ φαύλην «πεμπτέον» δύναμιν εἶναι, ὅπως τό τε φρόνημα τῶν νενικηκότων κατασβεσθείη καὶ μὴ μάτην τὰ πεποιημένα γένοιτο. Ξενοφ. Ἑλ, 5, 3, 8.

307. Οὕτω ξὺν ὅλῃ τῇ ψυχῇ ἐκ τοῦ γιγνομένου «περιακτέον» εἶναι, ἕως ἂν εἰς τὸ ὂν καὶ τοῦ ὄντος τὸ φανότατον δυνατὴ γένηται ἀνασχέσθαι θεωμένη· Πλάτ. Πολ. Ζ, 4, 518, C.

308 «Περιγραπτέον;» ἰδὲ 2, 141.

309. Ἐμὲ δὲ προσῆκεν οὐδὲν ἄλλο ἢ πρὸς τὴν μαρτυρίαν τοῦ ἀκολούθου ἀπολογηθῆναι· οὐ γὰρ μηνυτὴς οὐδ' ἐλεγκτὴρ τῶν ἀποκτεινάντων εἰμί, ἀλλὰ διωκόμενος ἀποκρίνομαι. ὅμως δὲ «περιεργατέον», ἵνα ἐκ παντὸς τρόπου τούτοις τε ἐπιβουλεύοντάς μοι ἐμαυτόν τε ἀπολυόμενον, ἐπιδείξω τῆς ὑποψίας. Ἀντιφ. 2, δ, 3.

310. Μετὰ δὲ τὸν τόκον τὰ ἀμφιδρόμια αὐτοῦ ὡς ἀληθῶς ἐν κύκλῳ «περιθρεκτέον» τῷ λόγῳ, σκοπουμένους μὴ λάθῃ ἡμᾶς οὐκ ἄξιον ὂν τροφῆς τὸ γιγνόμενον, ἀλλὰ ἀνεμιαῖόν τε καὶ ψεῦδος. Πλάτ. Θεαίτ. 15, 160, E.

311. Μεγάλων γὰρ ἕνεκα «περιιτέον», οὐχ ὡς σὺ δοκεῖς. Πλάτ. Φρ. 58, 274.

2. Τὴν μακροτέραν τοίνυν, ὦ ἑταῖρε, ἔφην, «περιιτέον» τῷ τοιούτῳ, καὶ οὐχ ἧττον μανθάνοντι πονητέον ἢ γυμναζομένῳ. Πλάτ. Πολ. 5, 16, 504, D.

312, 1. Εἴ τοι σύ γε σεωυτοῦ μὴ προορᾷς, ἀλλ' ἡμῖν τοῦτό ἐστι οὐ «περιοπτέον», γένος τὸ Εὐρυσθένεος γενέσθαι ἐξίτηλον. Ἡροδ. 5, 39.

2. Καὶ τοῖς μὲν ἄλλοις ἐφαίνετο εὔπορα καὶ πιστά, Φρυνίχῳ δὲ στρατηγῷ ἔτι ὄντι οὐδὲν ἤρεσκεν, ἀλλ' ὅτε Ἀλκιβιάδης, ὅπερ καὶ ἦν, οὐδὲν μᾶλλον ὀλιγαρχίας ἢ δημοκρατίας δεῖσθαι ἐδόκει αὐτῷ, οὐδ' ἄλλο τι σκοπεῖσθαι ἢ ὅτῳ τρόπῳ ἐκ τοῦ παρόντος κόσμου τὴν πόλιν μεταστήσας ὑπὸ τῶν ἑταίρων παρακληθεὶς κάτεισι, σφίσι δὲ «περιοπτέον» εἶναι τοῦτο μάλιστα ὅπως μὴ στασιάσωσι· Θουκ. 8, 48, 4.

3. «Περιοπτέον» ἰδὲ 2, 62.

313. Ξε. Τί δέ; παρὰ τῶν ἓν τὸ πᾶν λεγόντων ἆρ' οὐ «πευστέον» εἰς δύναμιν τί ποτε λέγουσι τὸ ὄν; Πλάτ. Σοφ. 32, 244, б.

314, 1. Τῆς δὲ Ἑρμοκράτους αὖ περὶ φύσεως καὶ τροφῆς, πρὸς ἅπαντα ταῦτ' εἶναι ἱκανὴν πολλῶν μαρτυρούντων «πιστευτέον» δή. Πλάτ. Τίμ. 2, 20, б.

2. Ἀδύνατον οὖν θεῶν παισὶν ἀπιστεῖν, καίπερ ἄνευ τε εἰκότων καὶ ἀναγκαίων ἀποδείξεων λέγουσιν, ἀλλ' ὡς οἰκεῖα φασκόντων ἀπαγγέλλειν ἑπομένους τῷ νόμῳ «πιστευτέον». Πλάτ. Τίμ. 13, 40, E.

3. Οὐκοῦν καὶ τοῖς λέγουσιν αὐτὰ ὁμοίως «πιστευτέον» λέγουσιν αὐτά; Πλάτ. Δημοδ. 8, 386, C.

4. Διὰ τοῦτο οὐ «πιστευτέον» τῇ βουλῇ περὶ τῶν γινομένων ἀποφάσεων, ἐπειδὴ σε καὶ τοὺς μετὰ σοῦ τὸ χρυσίον ἔχοντας ἀποπέφαγκε; Δείναρχ. 1, 59.

315. «Πλανητέον» ἰδὲ 2, 62.

316. Ἦν δὲ πλατείαις ἐπιτυγχάνῃς ὁδοῖς, ἀπὸ παραγγέλσεως αὖ «πλατυντέον» τῆς φυλῆς ἑκάστης τὸ μέτωπον. Ξενοφ. Ἱππαρχ. 4, 3,

317. «Πλεονεκτητέον» ἰδὲ 2, 138, 5.

318. Εἶτ' αὐτοὺς οὕτω τὰς γνώμας ἔχειν ὡς, ἐὰν τι δέῃ «πλευστέον» εἰς ταύτας αὐτοῖς ἐμβᾶσιν. Δημ. 4, 16,

319, 1. Εἴτε δὴ ὦν ἄλλος οἱ ἀπορέοντι ὑπεθήκατο, εἴτε καὶ αὐτὸς ἔμαθε τὸ «ποιητέον» οἱ ἦν, ἐποίεε δὴ τοιόνδε· Ἡροδ. 1, 192.

2. Τῶνδε δὲ εἵνεκεν προσεδεήθησαν αὐτῶν σχεῖν πρὸς Σαλαμῖνα Ἀθηναῖοι, ἵνα αὐτοὶ παῖδάς τε καὶ γυναῖκας ὑπεξαγάγωνται ἐκ τῆς Ἀττικῆς, πρὸς δὲ καὶ βουλεύσωνται τὸ «ποιητέον» αὐτοῖσι ἔσται. Ἡροδ. 8, 40.

3. Νῦν ὦν δέδοκται τὸ ἐνθεῦτεν τὸ «ποιητέον» ἡμῖν, ἀμυνομένους γὰρ τῇ δυνάμεθα ἄριστα περιστέλλειν ἀλλήλους. Ἡροδ. 9, 60.

4. Ἐγὼ μὲν γὰρ οἶμαι πάσας τὰς πόλεις διὰ τοῦτο τοὺς νόμους τίθεσθαι, ἵνα, περὶ ὧν ἂν πραγμάτων ἀπορῶμεν, παρὰ τούτους ἐλθόντες σκεψώμεθα ὅ,τι ἡμῖν «ποιητέον» ἐστίν. Λυσίας 1, 35.

5. Ὧν ἕνεκα περὶ παντὸς «ποιητέον», ὅπως ὡς τάχιστα τὸν ἐνθένδε πόλεμον εἰς τὴν ἤπειρον διοριοῦμεν, Ἰσοκρ. 4, 174.

6. Τούτων μὲν οὖν οὐδέτερον «ποιητέον», σκεπτέον δ' ὅπως ἀξίως ἡμῶν

αὐτῶν πολεμήσομεν καὶ μὴ τοὺς εἰθισμένους ἐγκωμιάζειν τὴν πόλιν ἐλέγξομεν ψευδεῖς ὄντας, ἀλλὰ . . . Ἰσοκρ. 6, 71.

7. Ὅπερ ἐμοὶ «ποιητέον» ἐστίν. Ἰσοκρ. 12, 34.

8. Πρῶτον μὲν δύνασθαι γνῶναι, πρὸς τίνας πολεμητέον καὶ τίνας συμμάχους «ποιητέον»· ἀρχὴ γὰρ . . . Ἰσοκρ. 15, 117.

9. «Ποιητέον» ἰδὲ 2, 125, 18. 199, 2. 26. 44. 73, 5. 85. 79, 4. 54, 5. 192, 4. 205. 175, 5. 220, 4. 223, 4, 231. 234.

10. Γρ. Γ. αὐτὸς σκόπει σύ· τάδε δέ σοι «ποιητέον». Ἀριστοφ. Ἐκκλ. 1081.

11. Διώριζε δὲ τούτων ἅ τε πρὸς τοὺς φίλους «ποιητέον» καὶ ἃ πρὸς ἐχθρούς. Ξενοφ. ΚΠ. 1, 6, 31.

12. Πολλὰ γὰρ ἐνορῶ δι' ἃ ἐμοὶ τοῦτο οὐ «ποιητέον». Ξενοφ. ΚΑ, 1, 31, 5.

13. Ἀλλ' ὅπως τοι μὴ ἐπ' ἐκείνῳ γενησόμεθα πάντα «ποιητέον». Ξενοφ. ΚΑ, 3, 1, 18.

14. Μετὰ δὲ ταῦτα ἀναστὰς εἶπε Ξενοφῶν, ὦ ἄνδρες στρατιῶται, τὴν μὲν πορείαν, ὡς ἔοικε, (δῆλον ὅτι) πεζῇ «ποιητέον»· οὐ γάρ ἐστι πλοῖα· Ξενοφ. ΚΑ, 6, 4, 12.

15. Ἐνθυμώμεθα γάρ, ἔφη, εἴ τις μὴ ὢν ἀγαθὸς αὐλητὴς δοκεῖν βούλοιτο, τί ἂν αὐτῷ «ποιητέον» εἴη. Ξενοφ. Ἀπ. 1, 7, 2.

16. Καὶ πρῶτον μὲν ὅτι ἐκεῖνοι σκευήν τε καλὴν κέκτηνται καὶ ἀκολούθους πολλοὺς περιάγονται, καὶ τούτῳ ταῦτα «ποιητέον». Ξενοφ. Ἀπ. 1, 7, 2.

17. Καὶ ὁ Εὐθύδημος, ὡς πάνυ μοι δοκοῦν, ἔφη, ὦ Σώκρατες, περὶ πολλοῦ «ποιητέον» εἶναι τὸ ἑαυτὸν γιγνώσκειν, οὕτως ἴσθι· Ξενοφ. Ἀπ. 4, 2, 30.

18. Ναὶ μὰ Δί', ἔφη ὁ Ἰσχόμαχος, ἔτι μέντοι λοιπὸν αὐτῷ ἐστι γνῶναι ὅ,τι τε «ποιητέον» καὶ ὁπότε καὶ ὅπως, εἰ δὲ μή. . . Ξενοφ. Οἰκον. 13, 2.

19. Ἐγὼ οὖν φημι ἀνδρὶ ἄρχοντι τὸ μὲν τὸν ἀνάγκης δεόμενον ἄλλοις προστακτέον εἶναι κολάζειν, τὸ δὲ τὰ ἆθλα ἀποδιδόναι δι' αὑτοῦ «ποιητέον». Ξενοφ. Ἱέρ. 9, 3.

20. Ὁποῖος δ' ἂν τις ᾖ, τούτῳ τάδε γε πάντα ταὐτὰ «ποιητέον», ἥνπερ γε βούληται ἀποδείξασθαι τὸν ἵππον οἷόν περ εἴρηται. Ξενοφ. Ἱππκ. 9, 11.

21. Καὶ τόνδε αὖ σκόπει, εἰ ἔτι μένει ἡμῖν ἢ οὔ, ὅτι αὐτὸ ζῆν περὶ πλείστου «ποιητέον», ἀλλὰ τὸ εὖ ζῆν. Πλάτ. Κριτ. 8, 48, 6.

22. Σω. Λέγω δὴ αὖ τὸ μετὰ τοῦτο, μᾶλλον δ' ἐρωτῶ· πότερον ἃ ἄν τις ὁμολογήσῃ τῳ δίκαια ὄντα «ποιητέον» ἢ ἐξαπατητέον;

Κρίτ. «Ποιητέον». Πλάτ. Κρίτ. 10, 49, Ε².

23. Ξε. Χρὴ γὰρ οὖν καὶ κατὰ δύναμίν γε οὕτω «ποιητέον», τοιόνδε τε μεταθέοντας ἴχνος αὐτοῦ. Πλάτ. Σοφ. 13, 226.

24. Θεαιτ. Λέγεις εὖ, καὶ ταῦτα ταύτῃ «ποιητέον». Πλάτ. Σοφ. 23, 235, C.

25. Ξε. Ταῦτ', ὦ Θεόδωρε, «ποιητέον»· ἐπείπερ . . . Πλάτ. Πολ. 1, 257, C.

26. Νῦν δὲ τοῦτο μέν, καθάπερ διακελεύει, «ποιητέον». Πλάτ. Πολ. 6, 261, Ε.

27. Ξε. Τοῦτο τοίνυν, ὦ Σώκρατες, ἡμῖν «ποιητέον», εἰ μὴ μέλλομεν ἐν τῷ τέλει καταισχῦναι τὸν λόγον. Πλάτ. Πολ. 11, 268, D.

28. Ξε. Οὐκοῦν μετὰ ταῦτα ποιητέον ὃ λέγομεν, ἵν' ἐφεξῆς ἡμῖν ὁ λόγος ἴῃ; Πλάτ. Πολ. 23, 281, D.

29. Ξε. Καὶ νῦν δὴ ταὐτὸν μὲν τοῦτο, ἔτι δὲ μᾶλλον ἢ τόθ' ἡμῖν «ποιητέον». Πλάτ. Πολ. 27, 287, C.

30. Νε. Σω. Φαίνεται τοῦθ' οὕτω ξυμβαίνειν τε καὶ «ποιητέον» ἢ λέγεις. Πλάτ. Πολ. 41, 303, ϐ.

31. Ἀλλ' ἐγὼ ἤδη ποτ' εἶδον, καί μοι ἔδοξεν οὕτω θεῖα καὶ χρυσᾶ εἶναι καὶ πάγκαλα καὶ θαυμαστά, ὥστε ποιητέον εἶναι ἐν βραχεῖ ὅτι κελεύει Σωκράτης. Πλάτ. Συμπ. 33, 217.

32. Σω. Τί μήν; καὶ ἔλεγχόν γε καὶ ἐπεξέλεγχον ὡς «ποιητέον» ἐν κατηγορίᾳ τε καὶ ἀπολογίᾳ. Πλάτ. Φρ. 51, 267.

33. Ἀλλ' εἰ δοκεῖ σοι, Εὐθύδημε, οὕτω ποιεῖν, «ποιητέον». Πλάτ. Εὐθδ. 22, 295, D.

34. Ἐδόκει πᾶσιν οὕτω «ποιητέον» εἶναι. Πλάτ. Πρωτ. 25, 338, E.

35. Ἃ δ' ἂν θῶνται, «ποιητέον» τοῖς ἀρχομένοις, καὶ τοῦτό ἐστι τὸ δίκαιον; Πλάτ. Πολ. Α, 13, 399, C.

36. Τοῦτο «ποιητέον» εἶναι τῷ ἥττονι, καὶ τὸ δίκαιον τοῦτο ἐτίθετο. Πλάτ. Πολ. Α, 13, 340, ϐ.

37. Τοῦτο δὲ τῷ ἀρχομένῳ «ποιητέον». Πλάτ. Πολ. 14, 341.

38. Ὧν δὴ ἴσως ἕνεκα περὶ παντὸς «ποιητέον», ἃ πρῶτα ἀκούουσιν, ὅτι κάλλιστα μεμυθολογημένα πρὸς ἀρετὴν ἀκούειν. Πλάτ. Πολ. Β, 17, 378, E.

39. Ἀλλὰ μὴν καὶ ἀλήθειάν γε περὶ πολλοῦ ποιητέον. Πλάτ. Πολ. Γ, 3, 389, ϐ.

40. Καὶ καλῶς γ', ἔφη, λέγεις· καὶ «ποιητέον» οὕτω. Πλάτ. Πολ. Δ. 5, 427, C.

41. Ἀληθῆ, ἔφην ἐγώ, ὑπομιμνήσκεις. καὶ «ποιητέον» μέν γ' οὕτω, χρὴ δὲ καὶ ὑμᾶς ξυλλαμβάνειν. Πλάτ. Πολ. Δ, 6, 427, E.

42. Παντάπασι μὲν οὖν, ἔφη, οὕτω «ποιητέον.» Πλάτ. Πολ. Η, 2, 545, ϐ.

43. Ἀλλ' αὐτὸ δικαιοσύνην αὐτῇ ψυχῇ ἄριστον εὕρομεν, καὶ «ποιητέον» εἶναι αὐτῇ τὰ δίκαια, ἐάν τ' ἔχῃ τὸν Γύγου δακτύλιον, Πλάτ. Πολ. Ι, 12, 612, ϐ.

44. «Ποιητέον» δὴ κατὰ ταῦτα καὶ ἡμῖν. Πλάτ. Τίμ. 16, 46, E.

45. Τὸ δὲ ἥμισυ λέγωμεν, ἢ πῶς καὶ πῇ «ποιητέον»; Πλάτ. Νομ. Β. 13, 673, ϐ.

46. Κλ. Ἄρισθ' ὑπέλαβές τε καὶ οὕτω δὴ ποίει.

Ἀθ. «Ποιητέον». Πλάτ. Νομ. Β, 13, 673, C.

47. Με. Τί μήν; καὶ «ποιητέον» γε ὡς λόγος. Πλάτ. Νομ. Γ, 6, 685, ϐ.

48. Ὃ δὴ καὶ σοὶ «ποιητέον», ὦ Κλεινία· πρῶτον τρεπτέον ἐπὶ τὰ τοιαῦτα μέλλοντί γε κατοικίζειν χώραν.

Κλ. Ἀλλ', ὦ ξένε Ἀθηναῖε, λέγεις τε παγκάλως ἐμοί τε οὕτω «ποιητέον». Πλάτ. Νομ. Ε, 16, 747, E[2].

49. Ἀθ. Ἀλλὰ γὰρ ἀγῶνα προφάσεις οὐ φασι δέχεσθαι· καὶ δὴ καί σοι τοῦτο νῦν καὶ ἐμοὶ «ποιητέον», ἐπεί περ σὺ . . . Πλάτ. Νομ. ς'. 1, 751, D.

50. Πρῶτον μὲ δὴ καθ' ἑκάστους τοὺς τόπους εἶναι ξυσσίτια, ἐν οἷς κοινῇ τὴν δίαιταν «ποιητέον» ἅπασιν. Πλάτ. Νομ. ς'. 9, 762, C.

51. Τοῖς δὲ ἄλλοις, ἐὰν μὴ βούλωνται, μηδὲν ἐπάναγκες ἔστω. Καὶ τὴν προβολὴν δὴ τὸν αἰρούμενον ἐκ τῶν ἐμπείρων «ποιητέον», Πλάτ. Νομ. ς'. 11, 765, ϐ.

52. Ἀθ. Οὐκοῦν ἐν τῷ νῦν παρόντι «ποιητέον» ἐμοὶ καὶ σφῷν τοῦτο; Πλάτ. Νομ. ς'. 14, 770.

53. Καὶ δὴ καὶ τὸ παρὸν ἡμῖν ὡσαύτως «ποιητέον». Πλάτ. Νομ. Ζ, 8, 799, D.

54. Τὸ γὰρ ἐοικὸς μείζονι κακῷ μειζόνως, τὸ δ' ἐλάττονι τιμωρητέον ἐλαττόνως. «ποιητέον» δὴ καὶ τοῖς ἡμετέροις νόμοις οὕτως. Πλάτ. Νομ. Θ, 8, 867, C.

55. Τότε τε ἦν ὀρθότατα ἔχον καὶ δὴ καὶ νῦν τοῦτ' αὐτὸ «ποιητέον», ἐπανελθόντας δὴ πάλιν ἐπὶ τοὺς νόμους. Πλάτ. Νομ. Θ, 14, 876, E.

56. 'Αθ. Καὶ μάλα γε, ὦ Μέγιλλε, «ποιητέον» τε ὡς λέγει. Πλάτ. Νομ. Ι, 4, 891, β.

57. Ὃ δὴ καὶ νῦν, ὦ Μέγιλλε καὶ Κλεινία, «ποιητέον» ἡμῖν ὅ,τι κάλλιστα καὶ ἄριστα· Πλάτ. Νομ. ια'. 12, 934, C.

58. Τρίτον δὲ ξένον ὑποδέχεσθαι χρὴ δημοσίᾳ τὸν κατά τι δημόσιον ἐξ ἄλλης χώρας ἀφιγμένον· ὃν στρατηγοῖς τε καὶ ἱππάρχοις καὶ ταξιάρχοις ὑποδεκτέον ἐστὶ μόνοις, τήν τ' ἐπιμέλειαν τῶν τοιούτων μετὰ τῶν πρυτάνεων «ποιητέον» ἐκείνῳ, παρ' ὅτῳ τις ἂν αὐτῶν τὴν κατάλυσιν ξενωθεὶς ποιήσηται μόνῳ. Πλάτ. Νομ. ιβ, 6, 950, C.

59. 'Αθ. Τί οὖν; ὃ λέγομεν νῦν, «ποιητέον» ἡμῖν, ἢ πῶς; Πλάτ. Νομ. ιβ, 12, 364, D.

60. Κλ. Τί οὖν δὴ «ποιητέον» ἐχόντων τούτων οὕτως, ὦ ξένε;

'Αθ. Τὸ λεγόμενον, ὦ φίλε, ἐν κοινῷ καὶ μέσῳ ἔοικεν ἡμῖν κεῖσθαι, καὶ εἴπερ κινδυνεύειν περὶ τῆς πολιτείας ἐθέλομεν ξυμπάσης, ἢ τρὶς ἕξ, φασίν, ἢ τρεῖς κύβους βάλλοντας, ταῦτα «ποιητέον». Πλάτ. Νομ. ιβ. 14, 968, E[2].

61. Εἰ τοίνυν περὶ τούτου μὲν ἔδει πολεμεῖν, χρήματα δὲ ὑπῆρχεν ἡμῖν ἱκανὰ τοῖς δὲ σώμασιν ἦμεν δυνατοί, οὐδὲ οὕτως ἔδει πολεμεῖν. ει δε μήτε δι' ὅτι μήτε ὅτοισι μήτε ἀφ' ὅτου πολεμήσωμεν ἔστι, πῶς οὐκ ἐκ παντος τρόπου τὴν εἰρήνην «ποιητέον» ἡμῖν; 'Ανδοκίδ. 3, 16.

62. Εἰ δὲ ἐν τῇ ἐκείνων, αὐτοὺς γιγνώσκειν τὸ «ποιητέον», νομίζοντες τὴν μὲν ὠρωπίαν, ἐν ᾗ τοὺς νεκροὺς ἐν μεθορίοις τῆς μάχης γενομένης κεῖσθαι ξυνέβη, 'Αθηναίων κατὰ τὸ ὑπήκοον εἶναι, καὶ οὐκ ἂν αὐτοὺς βίᾳ σφῶν κρατῆσαι αὐτῶν. Θουκ. 4, 99.

63. 'Αποστάντων δὲ τῶν Μαντινέων καὶ ἡ ἄλλη Πελοπόννησος ἐς θροῦν καθίστατο ὡς καὶ σφίσι «ποιητέον» τοῦτο. Θουκ. 5, 29, 2.

64. Τοῦτο δ' ὑμῖν οὐ «ποιητέον» ἐστίν, ὦ ἄνδρες 'Αθηναῖοι. Δημ. 7, 6.

65. Ὅθεν, ὦ ἄνδρες 'Αθηναῖοι, βουλευομένων ὑμῶν οὐ περὶ τοῦ εἰ «ποιητέον» εἰρήνην ἢ μὴ (ἐδέδοκτο γὰρ ἤδη τοῦτό γε) ἀλλ' ὑπὲρ . . . Δημ. 19, 94.

66. Ὡς ὑπὲρ πολίτου τοίνυν, ὡς ἔοικε, «ποιητέον» τοὺς λόγους Δημ. 23. 23

67. Εἴπερ τὸ εὐορκεῖν περὶ πλείςου πᾶσίν ἐςι «ποιητέον». Δημ. 23, 101.

68. 'Εφ' οἷς ἕκαστόν ἐστι τούτων «ποιητέον». Δημ. 58, 6.

69. Ὥστε περὶ πολλοῦ «ποιητέον» ἐστὶν ὀρθῶς βουλεύσασθαι περὶ αὐτοῦ. Λυκοῦργ. κατὰ Λεωκρ. 15.

320. «Ποικιλτέον» ἰδὲ 2, 266.

321, 1. Λυσ. Πῶς οὐ ταυτόν; Προ. «πολεμητέον» ἐστ' ἀπὸ τούτου. 'Αριστφ. Λυσιστρ. 496.

2. «Πολεμητέον» ἰδὲ 2, 40, 2. 319, 8.

3. Ξε. Τῆς ὡς «πολεμητέον» ἑκάστοις οἷς ἂν προελώμεθα πολεμεῖν, εἴτε αὐτὴν ἄτεχνον εἴτε ἔντεχνον ἐροῦμεν; Πλάτ. Πολ. 43, 304, E.

322, 1. Ὧνπερ ἕνεκα καὶ «πονητέον» καὶ φιλοσοφητέον καὶ πάντα «πρακτέον» ἐστίν. Ἰσοκρ. 15, 285.

2. «Πονητέον» ἰδὲ 2, 311, 2. 220, 4.

323, 1. Ἐγὼ γὰρ εἶμ' ἐκεῖσ' ὅποι «πορευτέον». Σοφ. Αἴας 690.

2. Ὄρνιθος εἵνεκ' ἀσφαλῶς «πορευτέον». Εὐριπ. Ἡρ. 730.

3. Ἀχ. ἱκέτευ' ἐκεῖνον πρῶτα μὴ κτείνειν τέκνα· ἢν δ' ἀντιβαίνῃ, πρὸς ἐμέ σοι «πορευτέον». Εὐριπ. Ἰφ. Α, 1016.

4. «Πορευτέον» δ' ἡμῖν τοὺς πρώτους σταθμοὺς ὡς ἂν δυνώμεθα μακροτάτους, ἵνα ὡς πλεῖστον ἀποσπάσωμεν τοῦ βασιλικοῦ στρατεύματος· Ξενοφ. ΚΑ, 2, 2, 12.

5. Ἐδόκει δὴ τοῖς στρατηγοῖς διὰ τῶν ὀρέων «πορευτέον» εἶναι. Ξενοφ. ΚΑ, 4, 1, 2.

6. Τῇ δ' ὑστεραίᾳ ἐδόκει «πορευτέον» εἶναι ὅπῃ δύναιντο τάχιστα πρὶν συλλεγῆναι τὸ στράτευμα πάλιν καὶ καταλαβεῖν τὰ στενά. Ξενοφ. ΚΑ, 4, 5, 1.

7. «Πορευτέον» ἰδὲ, 2, 139. 304, 30.

8. Ἀλλ' ἐπείπερ λέγειν ἠρξάμεθα, «πορευτέον» πρὸς τὸ τραχὺ τοῦ νόμου, Πλάτ. Πολ. Ε, 3, 452, C.

9. Κλ. Ἀλλ' ὦ ξένε, παντὸς μὲν μᾶλλον ταύτῃ «πορευτέον», ᾗπερ καὶ ὁ θεὸς ἡμᾶς σχεδὸν ἄγει· Πλάτ. Νομ. ιβ, 14, 968, β.

10. Οὐ γὰρ ἄνευ γε τούτων μή ποτέ τις ἐν πόλεσιν εὐδαίμων γένηται φύσις, ἀλλ' οὗτος ὁ τρόπος, αὕτη ἡ τροφή, ταῦτα τὰ μαθήματα, εἴτε χαλεπά, εἴτε ῥᾴδια, ταύτῃ «πορευτέον». Πλάτ. Ἐπιν. 13, 992.

324. «Ποτέον» ἰδὲ 2. 129, 2. 175, 2.

325, 1. Τὰ γὰρ ἄλλα τὰ συμπίπτον κατὰ τὴν ἡμέραν ἑκάστην τούτων ἕνεκα «πρακτέον» ἐστίν. Ἰσοκρ. 2, 9.

2. Περὶ μὲν οὖν τῶν ἐμῶν καὶ περὶ ὧν σοι «πρακτέον» ἐστὶ πρὸς τοὺς Ἕλληνας σχεδὸν ἀκήκοας, Ἰσοκρ. 5, 83.

3. Συνεληλύθατε μὲν γάρ, ὡς δέον ὑμᾶς ἐξ ἁπάντων τῶν ῥηθέντων ἐκλέξασθαι τὸ βέλτιστον, ὥσπερ δ' ἤδη σαφῶς εἰδότες, ὃ «πρακτέον» ἐστίν, οὐκ ἐθέλετ' ἀκούειν πλὴν τῶν πρὸς ἡδονὴν δημηγορούντων. Ἰσοκρ. 8, 9.

4. Οὐχ ἡγήσαντο δεῖν τοὺς ἄμεινον τῶν ἄλλων φρονοῦντας καὶ πράττοντας ἀμελεῖν, οὐδὲ περιορᾶν τὰς τῆς αὐτῆς συγγενείας μετεχούσας ἀπολλυμένας ἀλλὰ σκεπτέον εἶναι καὶ «πρακτέον», ὅπως ἁπάσας ἀπαλλάξουσι τῶν κακῶν τῶν παρόντων. Ἰσοκρ. 12, 164.

5. Οὗτοι τοίνυν εἰς τοῦτο τόλμης ἐληλύθασιν, ὥστε πειρῶνται πείθειν τοὺς νεωτέρους, ὡς ἢν αὐτοῖς πλησιάζωσιν, ἅ τε «πρακτέον» ἐστὶν εἴσονται καὶ διὰ ταύτης τῆς ἐπιστήμης εὐδαίμονες γενήσονται. Ἰσοκρ. 13, 3.

6. «Πρακτέον» ἰδὲ 2, 8, 2. 20. 51. 66. 87, 2. 234, 66. 332,

7. Περὶ ὧν μοι δοκεῖ «πρακτέον» εἶναι μετὰ τὴν εἰρήνην, Ἰσοκρ. Ἐπιστολ. 3, 1.

8. Κρ. Ἔδρασ' ἂν εὖ τοῦτ' ἴσθ' ἄν, εἰ μὴ τοῦ θεοῦ πρώτιστ' ἔχρῃζον ἐκμαθεῖν τι «πρακτέον». Σοφ. Οἰδ. Τ. 1438.

9. Ὁρῶν δὲ οὔτε πόλιν αὐτῷ προσχωροῦσαν οὐδεμίαν τότε χρόνου προβαίνοντα, ἐνόμισε «πρακτέον» τι εἶναι. Ξενοφ. Ἑλ. 7, 5, 9.

10. Οὐ δὲ μὴν ὅταν παρῇ τὸ «πρακτέον», τιμωρίαν χαλεπωτέραν εὐπετὲς ἐστι τὸ ἀπὸ τῶν ἐρωμένων κωλύεσθαι. Ξενοφ. Οἰκον. 12, 14.

11. Ἔπειτα δὲ καὶ ὅταν «πρακτέον» τι ᾖ, τὸ παραγγέλλειν μὴ ἰδιώταις ἀλλ' ἄρχουσι πολὺ ἀνυτικώτερον. Ξενοφ. Ἱππαρχ. 2, 6.

12. Σκοπεῖσθαι οὖν χρὴ ἡμᾶς, εἴτε ταῦτα «πρακτέον» εἴτε μή. Πλάτ. Κρίτ. 6, 46, β.

13. Ἐάν τε τὰ ἐγγὺς ὑπὸ τῶν πόρρω ἐάν τε τὰ πόρρω ὑπὸ τῶν ἐγγύς, ταύτην τὴν πρᾶξιν «πρακτέον» ἐν ᾗ ἂν ταῦτ' ἐνῇ. Πλάτ. Πρωτ. 37, 356, β.

14. Ἕνεκα γάρ που τῶν ἀγαθῶν ἅπαντα ἡμῖν ἔδοξε «πρακτέον» εἶναι, εἰ μνημονεύεις, ἐμοί τε καὶ Πώλῳ. Πλάτ. Γοργ. 54, 499, Ε.

15. Πότερον δὲ τὸ ἡδὺ ἕνεκα τοῦ ἀγαθοῦ «πρακτέον», ἢ τὸ ἀγαθὸν ἕνεκα τοῦ ἡδέος. Πλάτ. Γοργ. 62, 506, C.

16. Ἢ δεῖ τὸν Σωκράτη καὶ ἀλλήλους ἡμᾶς τὸ μετὰ τοῦτ' ἐπανερωτᾶν, ὁμολογήσαντας τοῦτ' αὐτὸ ἀνθρώπῳ «πρακτέον» εἶναι, τί τοὐντεῦθεν; Πλάτ. Κλειτφ. 4, 408, Ε.

17. Διάθεσις, καθ' ἣν κρίνομεν, τί «πρακτέον» καὶ τί οὐ «πρακτέον». Πλάτ. Ὅροι 411, D.[2]

18. Οὐ γὰρ δὴ μὴ δυνάμενοί γε ξυνορᾶν, ἃ «πρακτέον» ἐστί, κρίνειν ἱκανοὶ ἔσεσθε τὸν ὀρθῶς ξυμβουλεύοντα περὶ τούτων ὑμῖν· οὐδ' αὖ τοῦτό γε ἐρεῖ εἷς ὧν ὁ ξυμβουλεύων ὑμῖν οὗτος, ὑμᾶς διδάξειν ἃ «πρακτέον» ὑμῖν ἐστί, Πλάτ. Δημοδ. 3, 382.[2]

19. Ἀλλ' ὑμῖν τοῦτο «πρακτέον». Δημ. 9, 74.

20. Ὅτε τῷ μὲν ἐκείνου στρατηγῷ οὐ διήρηται τὸ «πρακτέον» ἢ μή, Δημ. 23, 140.

21. Ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι, αἱ ἀναγκαῖαι χρεῖαι τοὺς τοῦ τί «πρακτέον» ἢ μὴ λογισμοὺς ἀναιροῦσιν ἅπαντας, Δημ. 23, 148.

22. Καὶ τῇ μὲν δοκιμάζεται τί πρακτέον ἐστί, τῇ δὲ σώζεται. Δημ. 60, 17.

23. Τὸ γὰρ ὀρθῶς, ὅ,τι «πρακτέον» ἐστί, νέον ὄντα δοκιμάσαι καὶ ψυχῆς ἀγαθῆς καὶ γνώμης φρονίμου κοινόν ἐστι σημεῖον. Δημ. 61, 23.

24. Πρῶτον μὲν οὖν ὑμᾶς ἐκεῖνο ἐγνωκέναι δεῖ, ὡς οὐδὲν ὧν ἐποιεῖτε ἐπὶ τοῦ πολεμεῖν ὄντες τοῦ λοιποῦ «πρακτέον» ἐστίν, ἀλλὰ πάντα τἀναντία· Δημ. προοιμ. 1.

25. Οὐδὲν ὑμᾶς νῦν ὁρῶ ὄντας ἐγγυτέρω τοῦ τί «πρακτέον» εὑρῆσθαι ἢ πρὶν εἰς τὴν ἐκκλησίαν ἀναβῆναι. Δημ. προοιμ. 6.

326. Καὶ ἀγῶνας δὴ καὶ προαγῶνας εἴ τινων οὐκ ἄλλων ἢ τούτων ἕνεκα «προαγωνιστέον». Πλάτ. Νομ. Ζ, 6, 796, D.

327. 1. «Προαιρετέον» μέτριον μετὰ δικαιοσύνης μᾶλλον ἢ μέγαν πλοῦτον μετ' ἀδικίας. Ἰσοκρ. Ἀποσπ. 3, δ, 17.

2. Εἰ μὲν τοίνυν αἰσχρόν τι ἔμελλον ἐργάσεσθαι, θάνατον ἀντ' αὐτοῦ «προαιρετέον» ἦν· Ξενοφ. Ἀπ. 2, 7, 10.

3. Ἀλλὰ καὶ τοῖς λέγουσιν ἅπασι καὶ τοῖς ἀκούουσιν ὑμῖν τὰ βέλτιστα, καὶ τὰ σώσαντα τῶν ῥᾴστων καὶ τῶν ἡδίστων «προαιρετέον». Δημ. 6, 5.

4. Τούς τε γὰρ βεβαιοτάτους καὶ τοὺς ἀνδρειοτάτους «προαιρετέον», καὶ κατὰ δύναμιν τοὺς εὐειδεστάτους· Πλάτ. Πολ. Ζ, 15, 535.

5. «Προαιρετέον» οὖν αὖ τῶν ἀπείρων τὸ κάλλιστον, εἰ μέλλομεν ἄρξασθαι κατὰ τρόπον. Πλάτ. Τιμ. 20, 54.

328. Σω. Σκεπτέον, καὶ οὐ «προδοτέον» οὕτως ἀνάνδρως μέγαν τε καὶ σεμνὸν λόγον. Πλάτ. Θεαιτ. 40, 203, Ε.

329. Εἰ μὲν οὖν ἔτι δεῖ τὴν πόλιν τῆς Δημοσθένους πονηρίας καὶ ἀτυχίας ἀπολαύειν, ἵνα πλείω κακοδαιμονῶμεν—οὐ γὰρ ἔχω ἄλλο τι εἰπω—, στερκτέον ἐπὶ τοῖς συμβαίνουσιν· εἰ δέ τι κηδόμεθα τῆς πατρίδος καὶ τοὺς πονηροὺς καὶ δωροδόκους μισοῦμεν καὶ μετοιωνίσασθαι τὴν τύχην καὶ μεταλλάξασθαι βουλόμεθα, οὐ «προετέον» ἐστὶν ὑμᾶς αὐτοὺς ὦ Ἀθηναῖοι ταῖς τοῦ μικροῦ καὶ γόητος τούτου δεήσεσιν, οὐδὲ «προσδεκτέον» τοὺς οἴκτους καὶ τοὺς φενακισμοὺς (τοὺς) τούτου. Δειναρχ. 1, 92.

330, 1. «Προθυμητέον» ἰδὲ 2, 11, 4. 27.

2. Οὐ μέντοι μοι δοκεῖ προφάσεις ἀγὼν δέχεσθαι, ἀλλὰ «προθυμητέον» ταῦτα διασκέψασθαι. Πλάτ. Κρατ. 33, 421, D.

3. Ἄς «προθυμητέον» ὡς κάλλιστα συμμιγνύναι. Πλάτ. Φιλ. 37, 61, C.

4. Σω. «Προθυμητέον» τοίνυν· ἄξιον γάρ. Πλάτ. Μένων 7, 75, б.

5. Ἔτι δὲ σαφέστερον αὐτοῦ πέρι «προθυμητέον» αὖθις εἰπεῖν. Πλάτ. Τιμ. 18, 50.

6. Τοῦτ' οὖν «προθυμητέον», τὰ διαφέροντα κάλλει σωμάτων τέτταρα γένη συναρμόσασθαι καὶ φάναι τὴν τούτων ἡμᾶς φύσιν ἱκανῶς εἰληφέναι. Πλάτ. Τιμ. 20, 53, E.

7. Νῦν δὴ τοῦτ' αὐτὸ «προθυμητέον» ἰδεῖν μετὰ τὴν δόξαν τῆς τῶν δώδεκα μερῶν διανομῆς, Πλάτ. Νομ. E, 16, 746, D.

331. «Προνοητέον» ἰδὲ 2, 48.

332. Οὕτω ὦν πάντως ἡμῖν σέο τε καὶ τῆς σῆς ἀρχῆς «προοπτέον» ἐστί. Ἡροδ. 1, 120.

333, 1. Προοίμια δὲ τούτοισι κατὰ τὸν ἔμπροσθεν λόγον ὁμολογηθέντα «προρρητέον» ἅπασιν ὡς βραχύτατα. Πλάτ. Νομ. Θ, 1. 854.

2. «Προρρητέον» δή τι περὶ πάντων τῶν τοιούτων τοιόνδε, ὡς . . . Πλάτ. Νομ. Θ, 13, 874, E.

334. 1. Οὕτω καὶ νῦν τὸ πλέον, αὖ καὶ ἔλαττον μετρητὰ «προσαναγκαστέον» γίγνεσθαι μὴ πρὸς ἄλληλα μόνον ἀλλὰ καὶ πρὸς τὴν τοῦ μετρίου γένεσιν; Πλάτ. Πολ. 24, 284, б.

2. «Προσαναγκαστέον» ἰδὲ 1, 3.

335, 1. «Προσακτέον» ἰδὲ 2, 84.

2. Πρὸς τούτοις δὲ τὸ καθ' ἓν τῷ κατ' εἴδη «προσακτέον» ἐν ἑκάσταις ταῖς συνουσίαις, ἐρωτῶντα τε καὶ ἐλέγχοντα τὰ μὴ καλῶς ῥηθέντα· Πλάτ. Ἐπινομ. 13, 991, C.

336. Ταύτην τοίνυν, ἦν δ' ἐγώ, τὴν εἰκόνα, ὦ φίλε Γλαύκων, «προσαπτέον» ἅπασαν τοῖς ἔμπροσθεν λεγομένοις, Πλάτ. Πολ. Ζ. 3. 517, б.

337, 1. Τρίτον δὲ εἶδος κινήσεως σφόδρα ποτὲ ἀναγκαζομένῳ χρήσιμον, ἄλλως δὲ οὐδαμῶς τῷ νοῦν ἔχοντι «προσδεκτέον», τὸ τῆς φαρμακευτικῆς καθάρσεως γιγνόμενον ἰατρικόν. Πλάτ. Τίμ. 42, 89, б.

2. «Προσδεκτέον» ἰδὲ 2, 329.

338. Ὅπως δ' ἂν ταῦτα εἰς τὸν ἀεὶ χρόνον οὕτως ἔχοντα ὑπάρχῃ, τάδε «προσδιανοητέον, ὅσαι εἰσί . . . Πλάτ. Νομ. E. 10, 740, б.

339, 1. Ὧ μάλιστα «προσεκτέον» τὸν νοῦν ἐστίν. Ἰσοκρ. Ἐπιστλ. 2, 17.

2. «Προσεκτέον» ἰδὲ 2, 17, 2. 187, 8.

3. Οὐδὲ ὅτι τοῖς κακῶς χρωμένοις οὐ «προσεκτέον» ἐστίν, ἔχειν εἰπεῖν; Πλάτ. Δημ. 7, 384, E.

4. Ὁ γὰρ περιττὸς ἐν τοῖς λόγοις Δημοσθένης ἢ τοὺς νόμους φησὶν ὑμᾶς ἐξαλείφειν δεῖν, ἢ τοῖς ἐμοῖς λόγοις οὐκ εἶναι «προσεκτέον». Αἰσχίν. 1, 119.

5. Εἰ μὲν μὴ ἔνοχος ὢν ταῖς μελλούσαις ἀποφάσεσιν ἀναβαίνει, κακόνους ἐστὶ τῇ πολιτείᾳ καὶ τοὺς ἐπὶ τῷ δήμῳ δῶρα λαμβάνοντας οὐ βουλόμενος δίκην δοῦναι, καὶ τὴν κοινὴν τῶν ὑμετέρων σωμάτων φυλακήν, ἐφ' ᾗ τέτακται τὸ ἐν Ἀρείῳ πάγῳ συνέδριον, καταλυθῆναι βούλεται καὶ συγκεχύσθαι πάντα τὰ ἐν τῇ πόλει δίκαια· εἰ δὲ ῥήτωρ ἢ στρατηγός, οἳ τὴν προσδοκωμένην καθ' αὐτῶν ἀπόφασιν ἄπιστον βουλόμενοι γενέσθαι συνηγοροῦσιν, οὐ «προσεκτέον» ὑμῖν ἐστι τοῖς τούτου λόγοις, εἰδότας ὅτι ἐκ πάντων τούτων γεγένηται συνεργία περὶ τὸν Ἁρπάλου κατάπλουν καὶ τὴν ἄφεσιν. Δειν. 1, 112.

340. Οὐκοῦν, ἔφη, καὶ ὅταν πιεῖν βούλωνται, τὸ δύνασθαι διψῶντα ἀνέχεσθαι τῷ αὐτῷ «προσθετέον»; Ξενοφ. Ἀπ. 2, 12.

2. Τί δέ; «οὐ προσθετέον», ἔφη, ὅτι καὶ εἶναι τὸ ἀγαθὸν αὐτοῖς ἐρῶσιν; «Προσθετέον», Ἆρ' οὖν, ἔφη, καὶ οὐ μόνον εἶναι, ἀλλὰ καὶ ἀεὶ εἶναι; Καὶ τοῦτο «Προσθετέον». Πλάτ. Συμπτ. 24, 206.

341, 1. «Προσιτέον» ἴδε 165, 3.

2. «Προσιτέον» οὖν ἐγγυτέρω, ὡς ὁ ὑπὲρ Πρωταγόρου λόγος ἐπέταττε, καὶ σκεπτέον τὴν φερομένην ταύτην οὐσίαν διακρούοντα, εἴτε ὑγιὲς εἴτε σαθρὸν φθέγγεται· Πλάτ. Θεαιτ. 26, 179, D.

342. Ὅταν δὲ παραστήσῃς τινί, ἔφην ἐγώ, τοῦτο καὶ πάνυ ἰσχυρῶς ὅτι δεῖ ἐπιμελεῖσθαι ὧν ἂν σὺ βούλῃ, ἢ ἱκανὸς ἤδη ἔσται ὁ τοιοῦτος ἐπιτροπεύειν, ἤ τι καὶ ἄλλο «προσμαθητέον» αὐτῷ ἔσται, εἰ μέλλει ἐπίτροπος ἱκανὸς ἔσεσθαι; Ξενοφ. Οἰκον. 13, 1.

343, 1. Σκαιοῖσι γάρ τοι καινὰ προσφέρων σοφὰ μάτην ἀναλίσκοις ἄν, ἀλλ' ἄλλην τινὰ τούτῳ πρέπουσαν μηχανὴν «προσοιστέον». Ἀριστ. Θεσμ. 1132.

2. Ἐπεὶ οὐδὲ τὸ αὐτὸ οὐδὲ τὸ ἐκεῖνο οὐδὲ τὸ ἕκαστον οὐδὲ τὸ μόνον οὐδὲ τὸ τοῦτο «προσοιστέον», οὐδ' ἄλλα πολλὰ τοιαῦτα. Πλάτ. Θεαιτ. 39, 202.

3. «Προσοιστέον» ἴδε 173.

4. Σω. Οὐκοῦν καὶ ὅταν ἵππῳ χαλινὸν σκοπῆταί τις εἰ «προσοιστέον» ἢ μή, καὶ ὁπότε τότε που περὶ τοῦ ἵππου βουλεύεται ἀλλ' οὐ περὶ τοῦ χαλινοῦ; Πλάτ. Λαχ. 10, 185, D.

5. Οὐδὲν ἄρα «προσοιστέον» μανικὸν οὐδὲ ξυγγενὲς ἀκολασίας τῷ ὀρθῷ Ἔρωτι; οὐ «προσοιστέον». Οὐ «προσοιστέον» ἄρα αὕτη ἡ ἡδονή, οὐδὲ «κοινωνητέον» αὐτῆς ἐραστῇ τε καὶ παιδικοῖς ὀρθῶς ἐρῶσί τε καὶ ἐρωμένοις; Οὐ μέντοι, μὰ Δί', ἔφη, ὦ Σώκρωτες, «προσοιστέον». Πλάτ. Πολ. Γ, 12, 403^3+ε.

6. Γραμμάτων εἴπομεν ὡς οὐχ ἱκανῶς ἔχεις πέρι τὸ πρῶτον, ἐπικαλοῦντές τι τῇ λέξει τόδε, ὡς οὔπω διείρηκέ σοι, πότερον εἰς ἀκρίβειαν τοῦ μαθήματος ἰτέον τὸν μέλλοντα πολίτην ἔσεσθαι μέτριον ἢ τὸ παράπαν οὐδὲ «προσοιστέον»· ὡς δ' αὔτως καὶ περὶ λύραν· «προσοιστέον» μέντοι νῦν φαμέν. Πλάτ. Νομ. Ζ, 14, 809, E^2.

344, 1. Σω. Οὔτε ἄρα ὁρᾶν «προσρητέον» τι μᾶλλον ἢ μὴ ὁρᾶν, οὐδέ τιν' ἄλλην αἴσθησιν μᾶλλον ἢ μή, πάντων γε πάντως κινουμένων. Πλάτ. Θεαιτ. 28, 182, Ε.

2. Ξε. Κατὰ δὴ τὸν νῦν, ὦ Θεαίτητε, λόγον, ὡς ἔοικεν, ἡ τέχνης οἰκειωτικῆς, χειρωτικῆς (κτητικῆς), θηρευτικῆς, ζωοθηρίας, (πεζοθηρίας), χερσαίας, (ἡμεροθηρικῆς), ἀνθρωποθηρίας, ἰδιοθηρίας, (μισθαρνικῆς), νομισματοπωλικῆς, δοξοπαιδευτικῆς, νέων πλουσίων καὶ ἐνδόξων γιγνομένη θήρα «προσρητέον», ὡς ὁ νῦν λόγος ἡμῖν συμβαίνει, σοφιστική. Πλάτ. Σοφ. 10, 223, ϐ.

3. Ξε. Ταύτης τοίνυν τῆς μαθηματοπωλικῆς τὸ μὲν περὶ τὰ τῶν ἄλλων τεχνῶν μαθήματα ἑτέρῳ, τὸ δὲ περὶ τὸ τῆς ἀρετῆς ἄλλῳ «προσρητέον». Πλάτ. Σοφ. 11, 224, C.

4. Πότερον οὖν ἑκάτερον τῶν μορίων τούτων μόριον μόνον προσεροῦμεν, ἢ τοῦ ὅλου μόριον τό γε μόριον «προσρητέον»; Πλάτ. Παρμ. 13, 142, D.

5. Εἰ ἄρα δεῖ τινὰ πόλιν προσαγορεύειν κρείττω ἡδονῶν τε καὶ ἐπιθυμιῶν καὶ αὐτὴν αὑτῆς καὶ ταύτην «προσρητέον». Πλάτ. Πολ. Δ, 9, 431, D,

6. Ὁ αὐτὸς δὴ λόγος καὶ περὶ τῆς τὰ πάντα δεχομένης σώματα φύσεως· ταὐτὸν αὐτὴν ἀεὶ «προσρητέον». Πλάτ. Τίμ. 18, 50, ϐ.

7. Οὕτως οὖν αὐτὰ «προσρητέον», τὸ μὲν διακριτικὸν τῆς ὄψεως λευκόν, τὸ δ' ἐναντίον . . . Πλάτ. Τίμ. 30, 67, E.

8. Πᾶν οὖν ὅ τι πάσχων τις πάθος ὁπότερον αὐτῶν ἴσχει, νόσον «προσρητέον», ἡδονὰς δὲ καὶ λύπας ὑπερβαλλούσας τῶν νόσων τὰς μεγίστας θετέον τῇ ψυχῇ. Πλάτ. Τίμ. 41, 86, ϐ.

9. Προσρητέον ἰδὲ 2, 120, 12.

345. Ἐγὼ οὖν φημι ἀνδρὶ ἄρχοντι τὸ μὲν τὸν ἀνάγκης δεόμενον ἄλλοις «προστακτέον» εἶναι κολάζειν, τὸ δὲ τὰ ἆθλα ἀποδιδόναι δι' αὑτοῦ «ποιητέον». Ξενοφ. Ἱέρ. 9, 3.

346. Ἐγὼ μὲν οὐκ οἶμαι, ἀλλὰ τὰς μεταλλικὰς εἶναι δίκας τοῖς κοινωνοῦσι μετάλλου καὶ τοῖς εἰς ἕτερον συντρήσασιν· καὶ ὅλως τοῖς ἐργαζομένοις τὰ μέταλλα καὶ τῶν ἐν τῷ νόμῳ τι ποιοῦσι, τῷ δὲ δανείσαντι Πανταινέτῳ, καὶ ταῦτ' ἀπειληφότι γλίσχρως καὶ μόλις παρὰ τούτου, οὐκ εἶναι δίκην μεταλλικὴν «προσφευκτέον», οὐδ' ἐγγύς. Δημ. 37, 38.

347. Ἀθ. Ἆρ' οὖν μύθῳ σμικρὰ γ' ἔτι «προσχρηστέον», εἰ μέλλομεν ἐμμελῶς πως δηλῶσαι τὸ νῦν ἐρωτόμενον; Πλάτ. Νομ. Δ, 5, 713.

348. Χρήμασί γε μὴν οὐ μόνον δικαίως ἀλλὰ καὶ ἐλευθερίως ἐχρῆτο, τῷ μὲν δικαίῳ ἀρκεῖν ἡγούμενος τὸ ἐᾶν τὰ ἀλλότρια, τῷ δὲ ἐλευθερίῳ καὶ τῶν ἑαυτοῦ «προσωφελητέον» εἶναι. Ξενοφ. Ἀγησ. 11, 8.

349, 1. Τί δὲ τοὺς κινδυνεύειν μέλλοντας; ἆρα τοὺς φιλοτιμοτάτους «προτακτέον;» Ξενοφ. Ἀπ. 3, 1, 10

2. Καλὸν γὰρ τὴν μὲν διάνοιαν προαιρεῖσθαι τὰ βέλτιστα, τὴν παιδείαν τὴν τοῦ ῥήτορος καὶ τὸν λόγον πείθειν τοὺς ἀκούοντας· εἰ δὲ μή, τὴν γ' εὐγνωμοσύνην ἀεὶ «προτακτέον» τοῦ λόγου. Αἰσχ. 3, 170.

350, 1. Αὐτῶν δὲ τούτων τὰ τῇδε ἔμπροσθεν «προτιμητέον» εἰπεῖν. Πλάτ. Κριτίας 3, 109.

2. Τῶν οὖν αὑτοῦ τὰ δεσπόζοντα ἀεὶ «προτιμητέον» τῶν δουλευόντων. Πλάτ. Νομ. E, 1, 726.

351, 1. Αἰσχύνομαι οὖν ὑμῖν εἰπεῖν, ὦ ἄνδρες, τἀληθῆ· ὅμως δὲ «ῥητέον». Πλάτ. Ἀπόλ. 7, 22, ϐ.

2. Σω. Αἱ μὲν δὴ ὧραι Ἀττικιστὶ ὡς τὸ παλαιὸν «ῥητέον», εἴπερ βούλει τὸ εἰκὸς εἰδέναι. Πλάτ. Κρατυλ. 25, 410, C.

3. Ἀλλήλοις δὴ λείπεται συνδεδέσθαι, ὥστε εἴτε τις εἶναί τι ὀνομάζει, τινὶ εἶναι ἢ τινὸς ἢ πρός τι «ῥητέον» αὐτῷ, εἴτε γίγνεσθαι· Πλάτ. Θεαιτ. 14, 160, ϐ.

4. Κατεπείγει γὰρ ὕδωρ ῥέον, καὶ οὐκ ἐγχωρεῖ περὶ οὗ ἂν ἐπιθυμήσωσι τοὺς λόγους ποιεῖσθαι, ἀλλ' ἀνάγκην ἔχων ὁ ἀντίδικος ἐφέστηκε καὶ ὑπογραφὴν παραναγιγνωσκομένην, ὧν ἐκτὸς οὐ «ῥητέον». Πλάτ. Θεαιτ. 23, 172, Ε.

5. Ξε. Δύο μὲν εἴδη κακίας περὶ ψυχὴν «ῥητέον». Πλάτ. Σοφ. 15, 227, D.

6. Τὸ γὰρ ἐπί τε τούτοις ἅμα καὶ ἐπ' ἐκείνοις ὅσα ἔχει σῶμα ξυμφυὲς γεγονός, εἰς ὃ βλέποντες ἀμφότερα εἶναι λέγουσι, τοῦτο αὐτοῖς «ῥητέον» Πλάτ. Σοφ. 34, 247, D.

7. Ταύτην τότε καὶ κατὰ τοὺς τοιούτους ὅρους ἡμῖν μόνην ὀρθὴν πολιτείαν εἶναι «ῥητέον». Πλάτ. Πολ. 33, 293, Ε.

8. Νε. Σω. Πάντως γε μὴν «ῥητέον». Πλάτ. Πολ. 44, 306.

9. Σω. Ταύτας τοίνυν τὰς τῶν μαθημάτων ἡδονὰς ἀμίκτους τε εἶναι λύπαις «ῥητέον» καὶ οὐδαμῶς τῶν πολλῶν ἀνθρώπων ἀλλὰ τῶν σφόδρα ὀλίγων. Πρω. Πῶς γὰρ οὐ «ῥητέον». Πλάτ. Φίλ. 31, 52, ϐ.[2]

10. «Ῥητέον» μὲν γάρ σοι παντὸς μᾶλλον οὕτως ὅπως οἷός τε εἶ. Πλάτ. Φαῖδρ. 12, 236, C.

11. «Ῥητέον» ἰδὲ 1, 31. καὶ 2, 125, 7.

12. Ὁ ἐγὼ ὀνομάζειν μὲν ὀκνῶ, ὅμως δέ, ἐπειδὴ μόνω ἐσμέν, «ῥητέον». Πλάτ. Ἀλκϐ. 13, 118, ϐ.

13. Ἐπειδὴ οὕτω σοι δοκεῖ σφόδρα δεινὸν εἶναι τὸ πρᾶγμα, ὥστ' οὐδὲ «ῥητέον» εἶναι οὕτως εἰκῇ· Πλάτ. Ἀλκϐ. ϐ'. 6, 143, D.

14. Ἀλλὰ δοκεῖ μοι πολλῆς φυλακῆς δεῖσθαι καὶ σκέψεως, ὅ τί ποτε «ῥητέον» ἐστὶ καὶ μή. Πλάτ. Ἀλκϐ. ϐ'. 12, 149, C.

15. Οὐκοῦν ὡς μεταϐαίνει πρῶτον ἐκ τῆς τιμαρχίας εἰς τὴν ὀλιγαρχίαν, «ῥητέον;» Ναί. Πλάτ. Πολ. Η, 6, 550, D,

16. «Ῥητέον», ἦν δ' ἐγώ, καίτοι φιλία γέ τίς με καὶ αἰδὼς ἐκ παιδὸς ἔχουσα περὶ Ὁμήρου ἀποκωλύει λέγειν. Πλάτ. Πολ. Ι, 1, 595 ϐ.

17. Τὸ δὲ μέγιστον αὐτῶν εἰς ὠφέλειαν ἔργον, δι' ὃ θεὸς αὔθ' ἡμῖν δεδώρηται, μετὰ τοῦτο «ῥητέον». Πλάτ. Τίμ. 16, 47.

18. Τὴν μὲν περὶ ἁπάντων εἴτε ἀρχὴν εἴτε ἀρχὰς εἴτε ὅπῃ δοκεῖ τούτων πέρι τὸ νῦν οὐ «ῥητέον», δι' ἄλλο μὲν οὐδέν, διὰ δὲ τὸ χαλεπὸν εἶναι κατὰ τὸν παρόντα τρόπον τῆς διεξόδου δηλῶσαι τὰ δοκοῦντα, ... Πλάτ. Τίμ. 17, 48, C.

19. Καθάπερ εἴπομεν πολλάκις, ὅτι . . . , οὕτω κατὰ ταὐτὰ καὶ νῦν ὡς διὰ βραχυτάτων «ῥητέον», ὅτι . . . Πλάτ. Τίμ. 43, 89, Ε.

20. Καίτοι σχεδὸν μὲν οἶδα παραίτησιν εὖ μάλα φιλότιμον καὶ τοῦ δέοντος ἀγροικοτέραν μέλλων παραιτεῖσθαι, «ῥητέον» δὲ ὅμως. Πλάτ. Κριτίας 1, 107.

21. Τὸ δὲ βάθος καὶ πλάτος τό τε μῆκος αὐτῆς ἄπιστον μὲν τὸ λεχθέν, ὡς χειροποίητον ἔργον, πρὸς τοῖς ἄλλοις διαπονήμασι τοσοῦτον εἶναι, «ῥητέον» δὲ ὃ γε ἠκούσαμεν. Πλάτ. Κριτίας 10, 118, C.

22. Σοὶ δ' οὐχ οὕτω «ῥητέον», ὡς νῦν εἶπες, μέτριον εἰπών, ἀλλὰ τί τὸ μέτριον καὶ ὁπόσον, «ῥητέον», ἢ τὸν τοιοῦτον λόγον μήπω σοι διανοοῦ γίγνεσθαι νόμον. Πλάτ. Νομ. Δ, 9, 719, Ε.[2]

23. Ὅσ', ἂν μὴ νόμος, ἀλλ' ἔπαινος παιδεύων καὶ ψόγους ἑκάστους εὐηνίους μᾶλλον καὶ εὐμενεῖς τοῖς τεθήσεσθαι μέλλουσι νόμοις ἀπεργάζεται, ταῦτ' ἐστὶ μετὰ τοῦτο ἡμῖν «ῥητέον». Πλάτ. Νομ. E, 3, 730, б.

24. Τό γε μὴν δοκοῦν ὀρθὸν καὶ ἀληθὲς εἶναι πάντως «ῥητέον», ὦ Κλεινία. Πλάτ. Νομ. E, 21, 779, E.

25. Ὁ δὲ μὴ πειθόμενος ἄτιμος τῶν παιδείων ἔστω τιμῶν, ἃς ὀλίγον ὕστερον «ῥητέον». Πλάτ. Νομ. Z, 14, 810.

26. Ὧντινων οὖν δὴ πέρι δεῖ γίγνεσθαι δίκας, τὰ μὲν εἴρηται, τὰ κατὰ γεωργίας τε καὶ ὅσα τούτοις εἵπετο, τὰ δὲ μέγιστα οὔτε εἴρηταί πω, καθ' ἓν ἕκαστόν τε λεγόμενον (ῥηθέν), ἣν δεῖ λαμβάνειν αὐτὸ τιμωρίαν καὶ τίνων ποτὲ δικαστῶν τυγχάνειν, μετ' ἐκεῖν' αὐτὰ ἑξῆς ταῦτα «ῥητέον». Πλάτ. Νομ. Θ, 1, 853, б.

27. Ὅσα δὲ λόγῳ καὶ ὅσα ἔργῳ περὶ θεοὺς ὑβρίζει τις λέγων ἢ πράττων, τὸ παραμύθιον ὑποθεμένῳ «ῥητέον» ἃ δεῖ πάσχειν. Πλάτ. Νομ. I, 1, 885, б.

28. Ἀθ. Καλῶς. ἐξ ἀρχῆς δὴ «ῥητέον» ἂν εἴη πρῶτον, ὡς φαίνεται, μάλιστα μὲν ἄν, εἰ δυνάμεθα ἑνὶ λαβεῖν ὀνόματι, Πλάτ. Ἐπιν. 5, 980.

29. Τῷ δὲ—λέγωμεν πάλιν· οὐ γὰρ ἅπαξ «ῥητέον»—ἀοράτῳ τε εἶναι καὶ γιγνώσκοντι νοητῷ τε, μνήμης μεταλαβόντι λογισμοῦ τε ἐν περιτταῖς τε καὶ ἀρτίαις ἅμα μεταβολαῖς. Πλάτ. Ἐπιν. 5, 981, C.

30. «Ῥητέον» δέ, ὦ Διονύσιε, καὶ τοὐπὶ τούτῳ τότε λεχθέν. Πλάτ. Ἐπιστλ. Γ, 319, б.

31. Μεγάλην μὲν οὖν ἴσως ὑπερβολὴν δόξομεν λέγειν, «ῥητέον» δ' ὅμως· Δημ. 60, 24.

32. Εἰ μὲν οὖν ταύτης τῆς εὐηθείας δίκην ὑμᾶς δεῖ διδόναι, λόγους οὐ προσήκοντας κατὰ τῆς πόλεως ἀκούειν, τοῦτ' ἂν εἴη. εἰ δ' ὑπὲρ τῶν ἀληθῶν εἴ τι δίκαιον «ῥητέον», ἐπὶ τοῦτ' ἐγὼ παρελήλυθα, Δημ. προοιμ. 46.

352. Ἀλλ' ἐκπερᾷ γὰρ δωμάτων ὁ τοὺς ἐμοὺς γάμους ἑτοίμους ἐν χεροῖν ἔχων δοκῶν, «σιγητέον» μοι· Εὐριπ. Ἑλ. 1387.

353, 1. Ἔστι δ' ὑμῖν οὐ τοῦτο μόνον «σκεπτέον», ἀλλὰ καὶ πότερον εὐσεβέστερον τὸν βασιλέα καὶ τοὺς συνάρχοντας τὰ ὑπὲρ τοῦ μέλλοντος ἄρξειν ἱερὰ θῦσαι, Λυσίας 26, 8.

2. Πρῶτον μὲν οὖν «σκεπτέον», τί τῶν βασιλευόντων ἔργον ἐστίν. Ἰσοκρ. 2, 9.

3. Ὥστε τὰ μὲν πρότερον γεγενημένα κοινὰ θεῖναι δίκαιόν ἐστιν, εἰς δὲ τὸν ἐπίλοιπον χρόνον φυλακτέον, ὅπως μηδὲν συμβήσεταί σοι τοιοῦτον, καὶ «σκεπτέον», τί ἂν ἀγαθὸν αὐτὰς ἐργασάμενος φανείης ἄξια καὶ σαυτοῦ καὶ τῶν ἐκείναις πεπραγμένων πεποιηκώς. Ἰσοκρ. 5, 35.

4. «Σκεπτέον» ἰδὲ 1, 10. 2, 53, 4. 234, 15. 46. 47. 319, 6. 325, 4. 328. 341, 2.

5. Ταῦτα δὲ διορισαμένους τότ' ἤδη τὰς πράξεις τὰς καθ' ἑκάστην τὴν ἡμέραν «σκεπτέον», ὅπως συντενοῦσι πρὸς τὰς ὑποθέσεις τὰς ἐξ ἀρχῆς γενομένας. Ἰσοκρ. Ἐπιστλ. 6, 9.

6. Δημ. εὖ προσβιβάζεις μ'. ἀλλ' ἑτέρᾳ πῃ «σκεπτέον». Ἀριστοφ. Ἱππ. 35.

7. «Σκεπτέον» δὴ ὑμῖν πρῶτον μὲν εἰ ἐποιήσατο τὰς διαθήκας, ἔπειτα εἰ μὴ παρανοῶν διέθετο. Ἰσαῖος 4, 14.

8. (οὐ γὰρ τοῦτό ἐστι «σκεπτέον», ἀλλὰ τὸ πρᾶγμα εἰ δίκαιον ἢ μή.) Ἰσαῖος 10, 18.

9. Τὸ μὲν γὰρ εἶναι τὴν ἀγχιστείαν ἀνεψιοῖς πρὸς πατρὸς μέχρι ἀνεψιῶν παίδων ὁμολόγηται παρὰ πάντων· εἰ δὲ μεθ' ἡμᾶς δίδωσι τοῖς ἡμετέροις παισί, τοῦτ' ἤδη «σκεπτέον» ἐστί. Ἰσαῖος 11, 11.

10. Δηλῶσαι δὲ περὶ τοῦ παντὸς ὡς οὐ ταχέως αὐτοῖς βουλευτέον εἴη, ἀλλ' ἐν πλείονι «σκεπτέον». Θουκ. 1, 72.

11. Ἐν τούτῳ αὖ με ἔπαισεν ὁ διδάσκαλος, λέξας ὅτι ὁπότε μὲν τοῦ ἁρμόττοντος εἴην κριτής, οὕτω δέοι ποιεῖν, ὁπότε δὲ κρίναι δέοι ποτέρου ὁ χιτὼν εἴη τοῦτ' ἔφη «σκεπτέον» εἶναι τὶς κτῆσις δικαία ἐστί, πότερα.... Ξενοφ. ΚΠ. 1, 3, 17.

12. Ὁρῶ γὰρ ὅτι μᾶλλον ὑμῖν ἢ ἐμοὶ «σκεπτέον» ὅπως ὁ Ἀσσύριος ἡμῶν μὴ ἐπικρατήσει. Ξενοφ. ΚΠ, 5, 2, 23.

13. Καὶ ἕως τε μένομεν αὐτοῦ «σκεπτέον» μοι δοκεῖ εἶναι ὅπως ἀσφαλέστατα μένομεν, εἴτε ἤδη δοκεῖ ἀπιέναι, ὅπως ἀσφαλέστατα ἄπιμεν, καὶ ὅπως τὰ ἐπιτήδεια ἕξομεν. Ξενοφ. ΚΑ, 1, 3, 11.

14. Εἰ μὲν ἀνάγκη ἐστὶ μάχεσθαι, τοῦτο δεῖ παρασκευάσασθαι ὅπως ὡς κράτιστα μαχούμεθα· εἰ δὲ βουλόμεθα ὡς ῥᾷστα ὑπερβάλλειν, τοῦτό μοι δοκεῖ «σκεπτέον» εἶναι ὅπως (ὡς) ἐλάχιστα μὲν τραύματα λάβωμεν, ὡς ἐλάχιστα δὲ σώματα ἀνδρῶν ἀποβάλλωμεν. Ξενοφ. ΚΑ, 4, 6, 10.

15. Εἰ οὖν βούλει τούτῳ ἀρέσκειν, «σκεπτέον» μέν σοι ποῖα ἐπιστάμενος Θεμιστοκλῆς ἱκανὸς ἐγένετο τὴν Ἑλλάδα ἐλευθεροῦν, «σκεπτέον» δὲ ποῖά ποτε εἰδὼς Περικλῆς κράτιστος ἐδόκει τῇ πατρίδι σύμβουλος εἶναι, κτλ. ἰδὲ 2, 5, 2.

16. «Σκεπτέον» δὲ καὶ τόδε εἰ ἀναβαθεὶς ἐθέλει ἀφ' ἵππων ἀποχωρεῖν ἢ εἰ παρ' ἑστηκότας ἱππεύων μὴ ἐκφέρει πρὸς τούτους. Ξενοφ. Ἱππικ. 3, 4.

17. Σω. Οὐκοῦν ἐπισκοπῶμεν αὖ τοῦτο, ὦ Εὐθύφρον, εἰ καλῶς λέγεται, ἢ ἐῶμεν καὶ οὕτως ἡμῶν τε αὐτῶν ἀποδεχώμεθα καὶ τῶν ἄλλων, ἐὰν μόνον φῇ τίς τι ἔχειν οὕτω, ξυγχωροῦντες ἔχειν; ἢ «σκεπτέον» τί λέγει ὁ λέγων; Εὐθ. «Σκεπτέον»· οἶμαι μέντοι ἔγωγε τοῦτο νυνὶ καλῶς λέγεσθαι. Πλάτ. Εὐθφ. 11, 9, Ε.²

18. Σω. Ἐξ ἀρχῆς ἄρα ἡμῖν πάλιν «σκεπτέον», τί ἐστι τὸ ὅσιον. Πλάτ. Εὐθφ. 20, 15, C.

19. Σω. Οὐκοῦν ἐκ τῶν ὁμολογουμένων τοῦτο «σκεπτέον», πότερον δίκαιον ἐμὲ ἐνθένδε πειρᾶσθαι ἐξιέναι μὴ ἀφιέντων Ἀθηναίων, ἢ οὐ δίκαιον. Πλάτ. Κρίτων 9, 48, 6.

20. Ἡμῖν δ', ἐπειδὴ ὁ λόγος οὗτος αἱρεῖ, μὴ οὐδὲν ἄλλο σκεπτέον ᾖ ἢ ὅπερ νῦν δὴ ἐλέγομεν, πότερον . . . Πλάτ. Κρίτων 9, 48, C.

21. Σω. Νῦν δέ γ' οἶμαι, εἴ τι μέλει ἡμῖν τῆς τῶν προσώπων ὁμοιότητος, «σκεπτέον» ἢ γραφικὸς ὢν λέγει ἢ οὔ. Πλάτ. Θεαίτ. 2. 145.

22. Ἀλλ' ὅμως τὰ μὲν ἄλλα ἔχω περὶ αὐτὰ μετρίως, σμικρὸν δέ τι ἀπορῶ, ὃ μετὰ σοῦ τε καὶ τῶνδε «σκεπτέον». Πλάτ. Θεαίτ. 3. 145, D.

23. Ἄλλη δὴ «σκεπτέον», ὡς ἔοικεν, ὡς ὅ τε σὸς καὶ ὁ Θεοδώρου λόγος. Πλάτ. Θεαίτ. 17, 163.

24. Σω. Τῷ τοι, ὦ φίλε Θεόδωρε, μᾶλλον «σκεπτέον» καὶ ἐξ ἀρχῆς, ὥσπερ αὐτοὶ ὑποτείνονται. Πλάτ. Θεαίτ. 27, 179, D.

25. Δοκεῖ οὖν μοι τοὺς ἑτέρους πρότερον «σκεπτέον», ἐφ' οὕσπερ ὡρμήσαμεν, τοὺς ῥέοντας· Πλάτ. Θεαίτ. 27, 181.

26. Σω. «Σκεπτέον» ἂν εἴη σοῦ γε οὕτω προθυμουμένου. Πλάτ. Θεαίτ. 28, 181, ϐ.

27. Σω. Ἆρ' οὖν οὐ ταύτῃ «σκεπτέον» ὃ ζητοῦμεν, κατὰ τὸ εἰδέναι καὶ μὴ εἰδέναι ἰόντας, ἀλλὰ κατὰ τὸ εἶναι καὶ μή; Πλάτ. Θεαίτ. 31, 188, C.

28. Σω. Ἡ μὲν προθυμία, ὦ Θεαίτητε, ὀρθή· εἰ δὲ καὶ ἡ ἀπόκρισις, «σκεπτέον»· Θεαίτ. Δεῖ γε δή. Πλάτ. Θεαίτ. 40, 204, ϐ.

29. Ἀλλὰ γὰρ ἡμῖν ἔτι καὶ τοῦτο «σκεπτέον», εἰ ἄτομον ἤδη ἐστὶ πᾶν, ἤ τινα ἔχον διαίρεσιν ἀξίαν ἐπωνυμίας.

Θεαίτ. Οὐκοῦν χρὴ σκοπεῖν. Πλάτ, Σοφ. 16, 229, D.

30. Ξε. Τῶν μὲν τοίνυν πολλῶν πέρι καὶ μετὰ τοῦτο σκεψόμεθ' ἂν δόξῃ, περὶ δὲ τοῦ μεγίστου τε καὶ ἀρχηγοῦ πρώτου δὴ «σκεπτέον». Πλάτ. Σοφ. 31, 244, D.

31. Πότερα δύο γένη τινὲ αὐτώ, τῶν μὲν τριῶν ἄλλω, ξυμμιγνυμένω μὴν ἐκείνοις ἐξ ἀνάγκης ἀεί, καὶ περὶ πέντε ἀλλ' οὐ περὶ τριῶν ὡς ὄντων αὐτῶν «σκεπτέον», ἢ τό τε ταυτὸν τοῦτο καὶ θάτερον· ὡς ἐκείνων τι προσαγορεύοντες λανθάνομεν ἡμᾶς αὐτούς; Πλάτ. Σοφ. 40, 254, E.

32. Οὐκοῦν τὸ μετὰ τοῦτο «σκεπτέον», εἰ δόξῃ τε καὶ λόγῳ μίγνυται. Πλάτ. Σοφ. 44, 260. ϐ.

33. Ξε. Τούτους τε τοίνυν τοὺς κληρωτοὺς βασιλέας ἅμα καὶ ἱερέας, καὶ ὑπηρέτας αὐτῶν, καί τινα ἕτερον πάμπολυν ὄχλον «σκεπτέον», ὃς ἄρτι κατάδηλος νῦν ἡμῖν γέγονεν ἀποχωρισθέντων τῶν ἔμπροσθεν. Πλάτ. Πολ. 30, 291.

34. Ξε. Ἐξ ἀνάγκης δὴ νῦν τοῦτο οὕτω «σκεπτέον», ἐν τίνι ποτὲ τούτων ἐπιστήμη ξυμβαίνει γίγνεσθαι περὶ ἀνθρώπων ἀρχῆς, σχεδὸν τῆς χαλεπωτάτης καὶ μεγίστης κτήσασθαι. Πλάτ. Πολ. 32, 292, D.

35. Ξε. Σκοπῶμεν δὴ προσσχόντες τὸν νοῦν εὖ μάλα, πότερον οὕτως ἁπλοῦν ἐστὶ τοῦτο, ἢ παντὸς μᾶλλον αὐτῶν ἔχει διαφορὰν τοῖς ξυγγενέσιν ἐστι;

Νε. Σω. Ναί, λέγοις ἄν πῃ «σκεπτέον». Πλάτ. Πολ. 44, 306, C.

36. Τί δὲ τοῖς ἄλλοις προσήκει ἂν πάσχειν, ἓν εἰ ἔστιν, ἆρα οὐ «σκεπτέον; » «Σκεπτέον». Πλάτ. Παρμ. 22, 157, ϐ[2].

37. Εἶεν· εἰ δὲ δὴ μὴ ἔστι τὸ ἕν, τί χρὴ συμβαίνειν, ἆρ' οὐ «σκεπτέον» μετὰ ταῦτα; «Σκεπτέον» γάρ. Πλάτ. Παρμ. 24, 160, ϐ[2].

38. Σω. Ἀλλὰ δὴ πρὸς τρισὶ τέταρτόν τι τότε ἔφαμεν εἶναι γένος «σκεπτέον»· Πλάτ. Φιλ. 14, 26, E.

39. Ὥστ' ἄλλο τι νῷν «σκεπτέον» ἢ τὴν ἀπείρου φύσιν, ὡς παρέχεταί τι μέρος ταῖς ἡδοναῖς ἀγαθοῦ. Πλάτ. Φιλ. 15, 28.

40. Σω. Ἀλλ' εἰ πρὸς τὰ παρεληλυθότα, ὦ παῖ 'κείνου τἀνδρός, προσήκοντα, τοῦτο «σκεπτέον». Πλάτ. Φιλ. 21, 36, D.

41. Σω. Ἆρ' οὖν ὀρθῶς; ἢ «σκεπτέον» εἴτ' ὀρθῶς εἴτε μὴ ταῦτα λέγεται; Πρω. «Σκεπτέον», ὡς ἐγὼ φαίην ἄν. Πλάτ. Φιλ. 21, 36, E. καὶ 22, 37.

42. Σω. Τῷ ποτε οὖν δὴ τρόπῳ δόξα ψευδής τε καὶ ἀληθὴς ἡμῖν φιλεῖ γίγνεσθαι, τὸ δὲ τῆς ἡδονῆς μόνον ἀληθές, δοξάζειν δ' ὄντως καὶ χαίρειν ἀμφότερα ὁμοίως εἴληφεν;

Πρω. «Σκεπτέον». Πλάτ. Φιλ. 22, 37, ϐ.

43. Σω. Ἆρ' ὅτι δόξῃ μὲν ἐπὶ γίγνεσθον ψεῦδός τε καὶ ἀληθές,- καὶ ἐγένετο οὐ μόνον δόξα διὰ ταῦτα ἀλλὰ καὶ ποιά τις ἑκατέρα, «σκεπτέον» φῂς τοῦτ' εἶναι; Πλάτ. Φιλ. 22, 37, C.

44. Σω. Οὐκοῦν, ὅπερ νῦν προυθέμεθα σκέψασθαι, τὸν λόγον ὅπῃ καλῶς ἔχει λέγειν τε καὶ γράφειν καὶ ὅπῃ μή, «σκεπτέον». Πλάτ. Φρ. 42, 259, Ε.
45. Σω. Οὐ γάρ, ἀλλὰ «σκεπτέον» κοινῇ. Πλάτ. Ἀλκ. 19, 124, D.
46. Σω. Ὅ ἄρτι οὕτω πως ἐρρήθη, ὅτι πρῶτον «σκεπτέον» εἴη αὐτὸ τὸ αὐτό. Πλάτ. Ἀλκιϐ. 25, 130, D.
47. Σω. Οὐκοῦν ἀπ' ἐκείνου πάλιν ἐπανέλθωμεν. ἦν γάρ δή που καὶ ἐν ἀρχῇ τοῦ λόγου, «σκεπτέον» εἶναι τοὺς ἄφρονάς τε καὶ φρονίμους, τίνες πότ' εἰσίν. Πλάτ. Ἀλκϐ. ϐ, 4, 140, D.
48. Καί μοι δοκεῖ, ἦν δ' ἐγώ, κοινῇ ἂν «σκεπτέον», εἴτε κέκτησαι εἴτε μὴ ὃ πυνθάνομαι, ἵνα . . . Πλάτ. Χαρμ. 6, 158, D.
49. Οὐδέν, ἦν δ' ἐγώ· πάντως γὰρ οὐ τοῦτο «σκεπτέον», ὅστις αὐτὸ εἶπεν, ἀλλὰ πότερον ἀληθὲς λέγεται ἢ οὔ. Πλάτ. Χαρμ. 9, 161, C.
50. Σω. Εἴ τις ἄρα ἡμῶν τεχνικὸς περὶ ψυχῆς θεραπείαν καὶ οἷός τε καλῶς τοῦτο θεραπεῦσαι, καὶ ὅτῳ διδάσκαλοι ἀγαθοὶ γεγόνασι, τοῦτο «σκεπτέον». Πλάτ. Λάχης 10, 185, Ε.
51. Ὁπόσον δὲ χρόνον, τόν γε ὡς ἀληθῶς ἄνδρα ἐατέον ἐστὶ καὶ οὐ φιλοψυχητέον, ἀλλὰ ἐπιτρέψαντα περὶ τούτων τῷ θεῷ καὶ πιστεύσαντα ταῖς γυναιξίν, ὅτι τὴν εἱμαρμένην οὐδ' ἂν εἷς ἐκφύγοι, τὸ ἐπὶ τούτῳ «σκεπτέον», τίν' ἂν τρόπον τοῦτον ὃν μέλλοι χρόνον βιῶναι ὡς ἄριστα βιῴη, Πλάτ. Γοργ. 68, 512, Ε.
52. Τί γὰρ χρὴ ποιεῖν· ἔοικεν οὖν «σκεπτέον» εἶναι, ποῖόν τί ἐστιν ὃ μήπω ἴσμεν· ὅτι ἔστιν. Πλάτ. Μένων 22, 86, Ε.
53. Μεν. Ἔμοιγε δοκεῖ τοῦτο μετὰ τοῦτο «σκεπτέον» εἶναι. Πλάτ. Μένων 23, 87, D.
54. Ἀλλ' ὅτι μὲν τοῦτο «σκεπτέον» εἰ ἀληθῆ λέγεις, δῆλον. Ἐπειδὴ γὰρ ξυμφέρον γέ τι εἶναι καὶ ὁμολογῶ τὸ δίκαιον, οὐδὲ προστίθης καὶ αὐτὸ φὴς εἶναι τοῦ κρείττονος, ἐγὼ δὲ ἀγνοῶ, «σκεπτέον» δή. Σκόπει, ἔφη. Πλάτ. Πολ. Α, 12, 239, ϐ².
55. Εἰ δὲ καὶ ἄμεινον ζῶσιν οἱ δίκαιοι τῶν ἀδίκων καὶ εὐδαιμονέστεροί εἰσιν, ὅπερ τὸ ὕστερον προὐθέμεθα σκέψασθαι, «σκεπτέον». φαίνονται μὲν οὖν καὶ νῦν, ὥς γε μοι δοκεῖ, ἐξ ὧν εἰρήκαμεν· ὅμως δ' ἔτι βέλτιον «σκεπτέον». Πλάτ. Πολ. Α, 23, 352, D².
56. Εἰ μὲν οὖν ἡμεῖς μὲν φύλακας ὡς ἀληθῶς ποιοῦμεν, ἥκιστα κακούργους τῆς πόλεως, ὁ δ' ἐκεῖνο λέγων γεωργούς τινας καὶ ὥσπερ ἐν πανηγύρει ἀλλ' οὐκ ἐν πόλει ἑστιάτορας εὐδαίμονας, ἄλλο ἄν τι ἢ πόλιν λέγοι «σκεπτέον» οὖν, πότερον πρὸς τοῦτο βλέποντες κτλ. ἰδὲ 20, 3.
57. Σκόπει δή, ἔφη. «Σκεπτέον», εἶπον. Πλάτ. Πολ. Δ, 8, 430, Ε.
58. Ἔστω δή· ἦν δ' ἐγώ· μετὰ γὰρ τοῦτο «σκεπτέον», οἶμαι, ἀδικίαν. Πλάτ. Πολ. Δ, 18, 144.
59. Ἆρ' οὖν, ὥσπερ ἠρξάμεθα ἐν ταῖς πολιτείαις πρότερον σκοπεῖν τὰ ἤθη ἢ ἐν τοῖς ἰδιώταις, ὡς ἐναργέστερον ὄν, καὶ νῦν οὕτω πρῶτον μὲν τὴν φιλότιμον «σκεπτέον» πολιτείαν. Πλάτ. Πολ. Η, 2, 545, ϐ.
60. Δημοκρατίαν δή, ὡς ἔοικε, μετὰ τοῦτο «σκεπτέον», τίνα τε γίγνεται τρόπον γενομένη τε ποῖόν τινα ἔχει, ἵν' αὖ τὸν τοῦ τοιούτου ἀνδρὸς τρόπον γνόντες παραστησώμεθ' αὐτὸν εἰς κρίσιν. Πλάτ. Πολ. Η, 10, 555, ϐ.
61. Ἄθρει δή, ἦν δ' ἐγώ, τίς ὁ τοιοῦτος ἰδίᾳ. ἢ πρῶτον «σκεπτέον»,

ὥσπερ τὴν πολιτείαν ἐσκεψάμεθα, τίνα τρόπον γίγνεται; Πλάτ. Πολ. Η, 12, 558, C.

62. «Σκεπτέον» δ' οὖν περὶ αὐτοῦ πρῶτον, ὅπερ ὑπόκειται περὶ παντὸς ἐν ἀρχῇ δεῖν σκοπεῖν, πότερον ἦν ἀεί, γενέσεως ἀρχὴν ἔχων οὐδεμίαν, ἢ γέγονεν, ἀπ' ἀρχῆς τινος ἀρξάμενος γέγονεν· Πλάτ. Τιμ. 5, 28. 6.

63. Ἐπειδὴ δὲ τήν τε ἀνδρείαν καὶ τὴν ἀφοβίαν ἐν τοῖς φόβοις δεῖ καταμελετᾶσθαι, «σκεπτέον», ἆρα τὸ ἐναντίον ἐν τοῖς ἐναντίοις θεραπεύεσθαι δέον ἂν εἴη. Πλάτ. Νομ. Α, 649, C.

64. ἈΘ. Τὸ δὴ μετὰ τοῦτο, ὡς ἔοικε, «σκεπτέον» ἐκεῖνο περὶ αὐτῶν, πότερα. Πλάτ. Νομ. Β, 1, 652.

65. Ἃ δή, φαμέν, τῷ νομοθέτῃ «σκεπτέον», καὶ ἡμῖν δὲ ἐν τῷ νῦν παρόντι. Πλάτ. Νομ. Γ, 12, 696.

66. Σω. Οὐκοῦν «σκεπτέον» ἡμῖν ἐστι νῦν ἤδη, τί ἐστιν ἐμποδὼν τοῖς ζητοῦσι περὶ ὧν τὴν ζήτησιν ποιῶνται εἰς τὸ ἐξευρεῖν. Πλάτ. Σίσυφος 4, 380.

67. Ὅτε δ' οὕτω ταῦτ' ἔχει, «σκεπτέον» ὅπως μήθ' ἡμεῖς ἐν τῷ πολέμῳ γενησόμεθα οὐκ ἴσοι, μήτ' ἐκεῖνος, ὅν. Δημ. 14, 7.

68, «Σκεπτέον» τοίνυν μὴ πρότερον τούσδε γενέσθαι φοβεροὺς καὶ μεγάλους ἐάσωμεν ἢ 'κεῖνοι μικροὶ γενήσονται, Δημ. 16, 5.

69. Ἔστι τοίνυν ὑμῖν νυνὶ «σκεπτέον» εἰ τοσούτου τιμᾶσθε τὴν πολιτείαν καί τοὺς κειμένους καὶ τὸ εὐορκεῖν. Δημ. 22, 45.

70. Οὐ τοίνυν τοῦτο «σκεπτέον», εἰ τοῦτ' ἔστιν ἄκυρον τοῖς χρόνοις, ἀλλ' ἐκεῖνο, ὅτι . . . Δημ. 23, 94.

71. Τὴν γὰρ ἀλήθειαν «σκεπτέον», οὐχ ἅ τις ἑαυτῷ παρεσκεύασεν ἐξεπίτηδες εἰς τὸ λέγειν τι δοκεῖν, ὥσπερ ὑμεῖς. Δημ. 31, 13.

354. Οἰκ. Λείχειν ἄρ' αὐτῇ κἀνθάδε «σκευαστέον». Ἀριστφ. Εἰρήνη 855.

355. Χορ. Γυν. Λιγνὺν δοκῶ μοι καθορᾶν καὶ καπνόν, ὦ γυναῖκες, ὥσπερ πυρὸς καομένου «σπευστέον» ἐστὶ θᾶττον. Ἀριστφ. Λυσιστρ. 320.

356, 1. «Σπουδαστέον» ἰδὲ 2, 185, 4.

2. Ὡς ἐγὼ νομίζω, «σπουδαστέον» ὡς κάλλιστ' ἔχειν, μάλιστα δὲ τούτους δι' ὧν ἢ μικρὰν ἢ μεγάλην ἔστ' εἶναι τὴν πόλιν. Δημ. 20, 154.

3. Τὰ δὲ μετὰ ταῦτα γεγενημένα οὐκέτ' εἰς ἐμὲ μόνον αὐτῷ ἡμάρτηται, ἀλλὰ καὶ εἰς τοὺς νόμους, ὑπὲρ ὧν ὑμῖν ἅπασι «σπουδαστέον» ἐστίν. Δημ. 44, 10.

4. Τοῖς γὰρ ἀρετῆς ἀμφισβητοῦσιν ὑπὲρ οὐδενὸς οὕτω «σπουδαστέον», ὡς ὑπὲρ τοῦ μηδὲν αἰσχρὸν φανῆναι πράττοντας. Ἰσοκρ. 6, 91.

5. Τὸ δὲ δοκεῖν εἶναι καλὸν κἀγαθὸν οὐ μόνον τὸν λόγον πιστότερον ἐποίησεν ἀλλὰ καὶ τὰς πράξεις τοῦ τὴν τοιαύτην δόξαν ἔχοντος ἐντιμοτέρας κατέστησεν, ὑπὲρ οὗ «σπουδαστέον» ἐστὶ τοῖς εὖ φρονοῦσι μᾶλλον ἢ περὶ τῶν ἄλλων ἁπάντων. Ἰσοκρ. 15, 280.

357. «Στατέον», ἰδὲ 2, 54, 7.

358. Τό γε μὴν ψιλούμενον αἰρομένης τῆς δεξιᾶς «στεγαστέον» ἐγγὺς τοῦ θώρακος ἢ μοσχείῳ ἢ χαλκείῳ. Ξενοφ. Ἱππικ. 12, 7.

359. Αἰ. αἰαῖ. Θη. τὰ τούτων οὐχὶ σοι «στενακτέον». Εὐριπ. Ἱκ. 291.

360. «Στερκτέον» ἰδὲ 2, 329.

361. «Στρατηγητέον» ἰδὲ 2, 231.

362, 1. «Συγκρατέον» ἰδὲ 2, 142.

2. Εἴπερ πάσας ἡδονὰς ἥδεσθαι διὰ βίου συμφέρον τε ἡμῖν καὶ ἀβλαβὲς ἅπασι, πάσας «συγκρατέον». Πλάτ. Φιλ. 39, 63.

363, 1. «Συγχωρητέον» ὅρα 2, 140. 188, 3.

2. Ξε. Ἆρ' οὖν οὐδὲ τοῦτο «συγχωρητέον», τὸ τὸν τοιοῦτον λέγειν μέν (τι), λέγειν μέντοι μηδέν, ἀλλ' οὐδὲ λέγειν φατέον, ὅς γ' ἂν ἐπιχειρῇ μὴ ὂν φθέγγεσθαι; Πλάτ. Σοφ. 25, 237, E.

3. Ξε. Καὶ τὸ κινούμενον δὴ καὶ κίνησιν «συγχωρητέον» ὡς ὄντα. Πλάτ. Σοφ. 35, 249, β.

4. Εἰ γὰρ δεῖ, «συγχωρητέον» χάριν σήν, ἐπεὶ ἐμέ γε ἔλαθεν ὑπὸ τῆς ἐμῆς οὐδενίας. Πλάτ. Φρ. 10, 234, E.

5. Κλ. «Συγχωρητέον» ἃ λέγεις. Πλάτ. Νομ. Β, 8, 664. C.

6. Οὐδενὸς γὰρ πράγματος οὐδ' ἔργου τοῦτο «συγχωρητέον». Δημ. 21, 160.

364. «Συμβουλευτέον» ὅρα 2, 71.

365. Μετὰ δὴ τοῦτον τὸν χρόνον, ἦν δ' ἐγώ, ἐκ τῶν εἰκοσιετῶν οἱ προκριθέντες τιμάς τε μείζους τῶν ἄλλων οἴσονται, τά τε χύδην μαθήματα παισὶν ἐν τῇ παιδείᾳ γενόμενα τούτοις «συνακτέον» εἰς σύνοψιν οἰκειότητος ἀλλήλων τῶν μαθημάτων καὶ τῆς τοῦ ὄντος φύσεως. Πλάτ. Πολ. Ζ. 16, 537, C.

366. «Συνεκτέον» ὅρα 2, 167, 2.

367. Καὶ ταῦτα οὐ μόνον πράττων ἔχαιρεν, ἀλλὰ καὶ ἐνθυμούμενος ἠγάλλετο ὅτι αὐτὸς μὲν ἐν μέσαις ταῖς εὐφροσύναις ἀναστρέφοιτο, τὸν δὲ βάρβαρον ἑώρα, εἰ μέλλοι ἀλύπως βιώσεσθαι, «συνελκυστέον» αὐτῷ ἀπὸ περάτων τῆς γῆς τὰ τέρψοντα. Ξενοφ. Ἀγησ. 9, 4.

368. Ὡς ἤδη διεγνωκώς, ὅτι πάντως «συνεστέον» Πρωταγόρᾳ, ὃν οὔτε γιγνώσκεις, ὡς φῄς, οὔτε διείλεξαι οὐδεπώποτε, σοφιστὴν δ' ὀνομάζεις, τὸν δὲ σοφιστήν, ὅτι ποτε ἔστι, φαίνει ἀγνοῶν, ᾧ μέλλεις σαυτὸν ἐπιτρέπειν, Πλάτ. Πρωτ. 5, 313, β.

369. Κοινῇ δὲ μετ' ἐμοῦ σοι «συσκεπτέον» ἀρχομένῳ πρῶτον, ὡς ἐμοὶ φαίνεται, νῦν ἀπὸ τοῦ σοφιστοῦ, ζητοῦντι καὶ ἐμφανίζοντι λόγῳ τί ποτ' ἔστι. Πλάτ. Σοφ. 3, 218, β.

370, 1. «Σωστέον» ὅρα 2, 233.

2. Λυσ. «Σωστέον», ὦ τάν. Προ. κεἰ μὴ δέομαι; Λυσ. τοῦδ' εἵνεκα καὶ πολὺ μᾶλλον. Ἀριστφ. Λυσ. 501.

371. Ταῦτα δὲ πάντα ἐκείνων ἔμπροσθεν τέτακται φύσει, καὶ δὴ καὶ τῷ νομοθέτῃ «τακτέον» οὕτω· Πλάτ. Νομ. Α, 6, 631. D.

372, 1. Δοκεῖ δή μοι «τηρητέον» αὐτοὺς εἶναι ἐν ἁπάσαις ταῖς ἡλικίαις, εἰ φυλακικοί εἰσι τούτου τοῦ δόγματος... Πλάτ. Πολ. Γ, 19, 412, E.

2. «Τηρητέον» ὅρα 2, 54, 5. 192, 4.

373, 1. Οὐκοῦν, ἔφη, ὅσῳ μεγαλοπρεπέστερον ἀξιοῖ σε θεραπεύειν, τοσούτῳ μᾶλλον «τιμητέον» αὐτό. Ξενοφ. Ἀπ. 1, 4, 10.

2. Ἐπιστήμην δὲ καὶ ἀλήθειαν, ὥσπερ ἐκεῖ φῶς τε καὶ ὄψιν ἡλιοειδῆ μὲν νομίζειν ὀρθόν, ἥλιον δὲ ἡγεῖσθαι οὐκ ὀρθῶς ἔχει, οὕτω καὶ ἐνταῦθα ἀγαθοειδῆ μὲν νομίζειν ταῦτ' ἀμφότερα ὀρθόν, ἀγαθὸν δὲ ἡγεῖσθαι ὁπότερον αὐτῶν οὐκ ὀρθόν, ἀλλ' ἔτι μειζόνως «τιμητέον» τὴν τοῦ ἀγαθοῦ ἕξιν. Πλάτ. Πολ. ς'. 19, 509.

3. Τὰ γὰρ οἶμαι βέλτιστα, ἀλλ' οὐ τὰ βραχύτατα οὐδὲ τὰ μήκη «τιμητέον»· Πλάτ. Νομ. Δ, 12, 722.

4. Τιμητέον ὅρα, 2, 124, 3.

5. Εἰ δ' ἄρα τὰ παρ' ἡμῶν σοι ἀρέσκει, «τιμητέον» καὶ ἐμὲ μάλιστα. Πλάτ. Ἐπιστλ. Β, 312, 6.

6. Οὐ γὰρ ἀνοήτων γε οὐδὲ βραχέος ἀξίων, ἀλλ' ὅπερ εἰρήκαμεν, τούτων ἡμῖν θάτερα θετέα, τὰ δὲ τεθέντα «τιμητέον» πάντων ἀγαλμάτων διαφερόντως· Πλάτ. Ἐπιν. 7, 984.

374, 1. «Τιμωρητέον» ὅρα 2, 125, 18.

2. Ἢν γὰρ σφαλῇ, σφεῖς γε οὐδὲν ἄλλο ἢ δουλεύουσι τῇ πρώτῃ τῶν ἡμερέων· ἀλλὰ «τιμωρητέον» εἴη ἐς τὰ δυνατώτατον. Ἡροδ. 7, 168.

3. Τὸ γὰρ ἐοικὸς μείζονι κακῷ μειζόνως, τὸ δ' ἐλάττονι «τιμωρητέον» ἐλαττόνως. Πλάτ, Νομ. Θ, 8, 867, C.

375, 1. Ξε. Τί δέ; τὴν χειρωτικὴν ἆρ' οὐ διχῇ «τμητέον;» Πλάτ. Σοφ. 5, 219, D.

2. Σκόπει δὴ αὖ καὶ τὴν τοῦ νοητοῦ τομὴν ᾗ «τμητέον». Πλάτ. Πολ. ς'. 20, 510, 6.

3. Οἷον ἐάν τι ἐπιχειρήσωμεν ἡμεῖς τῶν ὄντων τέμνειν, πότερον ἡμῖν «τμητέον» ἕκαστον ὡς ἂν ἡμεῖς βουλώμεθα καὶ ᾧ ἂν βουληθῶμεν, ἢ ἐὰν μὲν κατὰ τὴν φύσιν βουληθῶμεν ἕκαστον τέμνειν τοῦ τέμνειν τε καὶ τέμνεσθαι καὶ ᾧ πέφυκε, τεμοῦμέν τε καὶ πλέον τι ἡμῖν ἔσται καὶ ὀρθῶς πράξομεν τοῦτο, ἐὰν δὲ παρὰ φύσιν, ἐξαμαρτησόμεθά τε καὶ οὐδὲν πράξομεν; Πλάτ. Κρατλ. 5, 387.

376, 1. Ὅταν δὲ νυκτὸς ὄμμα λυγαίας μόλῃ, «τολμητέον» τοι ξεστὸν ἐκ ναοῦ λαβεῖν ἄγαλμα πάσας προσφέροντε μηχάς. Εὐρ. Ἰφ. Τ. 111.

2. Οὐ γὰρ τὸ τοῦ θεοῦ γ' αἴτιον γενήσεται πεσεῖν ἄκραντον θέσφατον· «τολμητέον». Εὐριπ. Ἰφ. Τ. 121.

3. «Τολμητέον», ὅρα 2, 32. 125, 4.

4. Καίτοι τί πάσχω; βούλομαι λέγωτ' ὀφλεῖν ἐχθροὺς μεθεῖσα τοὺς ἐμοὺς ἀζημίους; «τολμητέον» τάδ'. ἀλλὰ τῆς ἐμῆς κάκης, τὸ καὶ προέσθαι μαλθακοὺς λόγους φρενός. χωρεῖτε παῖδες εἰς δόμους. Εὐριπ. Μήδ. 1051.

5. Ὅμως δέ, πάντα γὰρ «τολμητέον». τί εἰ ἐπιχειρήσαιμεν ἀναισχυντεῖν; Πλάτ. Θεαίτ. 35, 196, D.

6. Ξε. Τούτων δὴ πέρι θαυμαστόν τινα λόγον ἀποφαίνεσθαι «τολμητέον». Πλάτ. Πολ. 44, 306, 6.

7. «Τολμητέον» γὰρ οὖν τό γε ἀληθὲς εἰπεῖν, ἄλλως τε καὶ περὶ ἀληθείας λέγοντα. Πλάτ. Φρ. 27, 247, C.

8. Χαλεπὸν μὲν οὖν πρὸς ἄνδρα οὐχ ἥττονα ἐραστῶν προσφέρεσθαι ἐραστῇ, ὅμως δὲ «τολμητέον» φράσαι τὴν ἐμὴν διάνοιαν. Πλάτ. Ἀλκ6. 2, 104, Ε.

9. Πῶς τούτους ἄν τις ἐν πραέσι λόγοις δύναιτο νουθετῶν ἅμα διδάσκειν περὶ θεῶν πρῶτον ὡς εἰσί; «Τολμητέον» δέ. Πλάτ. Νομ. Ι. 3, 888.

377, 1. Οὐκοῦν, ἐπειδὴ τὸ δοκεῖν, ὡς δηλοῦσί μοι οἱ σοφοί, καὶ τὰν ἀλήθειαν βιᾶται καὶ κύριον εὐδαιμονίας, ἐπὶ τοῦτο δὴ «τρεπτέον» ὅλως. Πλάτ. Πολ. Β, 8, 365, C.

2. Ὁ δὴ καὶ σοὶ ποιητέον, ὦ Κλεινία· πρῶτον «τρεπτέον» ἐπὶ τὰ τοιαῦτα μέλλοντί γε κατοικίζειν χώραν. Πλάτ. Νομ. Ε. 16, 747, Ε.

3. Νῦν οὖν ἀνύσαντε φροντίσωμεν, ὦγαθέ, ποίαν ὁδὸν νὼ τρεπτέον καὶ πρὸς τίνα. Ἀριστφ. Ἱππῆς 72.

378. Ἢ γὰρ θεοὺς αὐτοὺς ταῦτα «ὑμνητέον» ὀρθότατα, ἢ θεῶν εἰκόνας ὡς ἀγάλματα ὑπολαβεῖν γεγονέναι, θεῶν αὐτῶν ἐργασαμένων· Πλάτ. Ἐπιν. 7, 983, E.

379. Θεαίτ. Τὸ ποῖον οὖν δὴ περὶ τῶν ὀνομάτων «ὑπακουστέον ;» Πλάτ. Θεαίτ. 45, 261, D.

380. «Ὑπαναστατέον» ὅρα. 2, 62.

381. Εὐρ. τουτὶ πονηρόν· ἀλλ' «ὑπαποκινητέον». Ἀριστφ. Θεσμφ. 924.

382. Τοῦτο μὲν ἄρα «ὑπαρκτέον», θεώρους πολέμου τοὺς παῖδας ποιεῖν, προσμηχανᾶσθαι δ' αὐτοῖς ἀσφάλειαν, καὶ καλῶς ἕξει· ἢ γάρ ; Πλάτ. Πολ. E, 14, 467, C.

383, 1. «Ὑπεικτέον» ὅρα, 2, 26.

2. Τοι γὰρ τὸ λοιπὸν εἰσόμεθα μὲν θεοῖς εἴκειν, μαθησόμεθα δ' Ἀτρείδας σέβειν. ἄρχοντές εἰσιν, ὥσθ' «ὑπεικτέον». τί μή; Σοφ. Αἴας 668.

384. «Ὑπεροπτέον» ὅρα 2, 176.

385. Ὃν στρατηγοῖς τε καὶ ἱππάρχοις καὶ ταξιάρχοις «ὑποδεκτέον ἐστὶ μόνοις, τήν τ' ἐπιμέλειαν τῶν τοιούτων μετὰ τῶν πρυτάνεων ποιητέον ἐκείνῳ, παρ' ὅτῳ τις ἂν αὐτῶν τὴν κατάλυσιν ξενωθεὶς ποιήσηται μόνῳ. Πλάτ. Νομ. ιβ, 6, 953, β.

386. «Ὑποθετέον» δὴ πρότερον θάτερα, τὰ δ' ὑποτεθέντα ἐπάνιμεν αὖθις. Πλάτ. Τίμ. 26, 61, D.

387, 1. Καὶ τἆλλα δὴ οὕτω, σκληρὸν καὶ θερμὸν καὶ πάντα, τὸν αὐτὸν τρόπον «ὑποληπτέον», αὐτὸ μὲν καθ' αὑτὸ μηδὲν εἶναι, ὃ δὴ καὶ τότε ἐλέγομεν, Πλάτ. Θεαίτ. 12, 156, E.

2. Θεαίτ. Ἀλλ' ἔμοι γε, ἐπειδὴ σοῦ ἀκούω οὕτω δεξιόντως, θαυμασίως φαίνεται ὡς ἔχειν λόγον καὶ «ὑποληπτέον» ᾗπερ διελήλυθας. Πλάτ. Θεαίτ. 14, 157, D.

3. Οὕτως ἄρα «ὑποληπτέον» περὶ τοῦ δικαίου ἀνδρός, ἐάν τ' ἐν πενίᾳ γίγνηται ἐάν τ' ἐν νόσοις ἤ τινι ἄλλῳ τῶν δοκούντων κακῶν, Πλάτ. Πολ. I, 12, 613.

4. Τίν' οὖν ἔχον δύναμιν κατὰ φύσιν αὐτὸ «ὑποληπτέον;» Πλάτ. Τιμ. 18, 49.

5. Καὶ τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι, οὐχ ὅτι μία τριήρης ἦν, μικρὸν «ὑποληπτέον», ἀλλ' ὅτι . . . Δημ. 17, 26.

388, 1. Ξε. Ἀναγκαῖον δὴ καὶ πολιτείαν, ὡς ἔοικε, ταύτην ὀρθὴν διαφερόντως εἶναι καὶ μόνην πολιτείαν, ἐν ᾗ τις ἂν εὑρίσκοι τοὺς ἄρχοντας ἀληθῶς ἐπιστήμονας καὶ οὐ δοκοῦντας μόνον, ἐάν τε κατὰ νόμους ἐάν τε ἄνευ νόμων ἄρχωσι, καὶ ἑκόντων καὶ ἀκόντων, ἢ πενόμενοι ἢ πλουτοῦντες, τούτων «ὑπολογιστέον» οὐδὲν οὐδαμῶς εἶναι κατ' οὐδεμίαν ὀρθότητα. Πλάτ. Πολ. 33, 293, C.

2. Οὐδέν, οἶμαι, τοῦτο «ὑπολογιστέον», ὅτι πλεῖ ἐν τῇ νηΐ, οὐδ' ἐστὶ κλητέος ναύτης· Πλάτ. Πολ. A, 15, 341, D.

389, 1. Πρότερον μὲν γὰρ ἀεὶ αὐτοῖς ἔλεγε καὶ προπαρεσκεύαζε τὰς γνώμας ὡς οὐδὲν αὐτοῖς πλῆθος νεῶν τοσοῦτον, ἢν ἐπιπλέῃ, ὅτι οὐχ «ὑπομενετέον» αὐτοῖς ἐστι· Θουκ. 2, 88, 2.

2. Ὃ σημεῖον ἐλευθερίας ἐστίν, ὑπὲρ ἧς οὐδὲν ὅτι τῶν δεινῶν οὐχ «ὑπομενετέον», οὐ μόνον ἡμῖν ἀλλὰ καὶ τοῖς ἄλλοις τοῖς μὴ λίαν ἀνάνδρως δια-

κειμένοις ἀλλὰ καὶ κατὰ μικρὸν ἀρετῆς ἀντιποιουμένοις. Ἰσοκρ. 6, 7.

3. Ἐγὼ τούτους εἴρηκα τοὺς λόγους, οὐχ ὡς δέον ἡμᾶς ἤδη ταῦτα πράττειν, οὐδ' ὡς οὐδεμιᾶς ἄλλης ἐνούσης ἐν τοῖς πράγμασι σωτηρίας, ἀλλὰ βουλόμενος ὑμῶν προτρέψασθαι τὰς γνώμας, ὡς καὶ ταύτας τὰς συμφορὰς καὶ πολὺ δεινοτέρας τούτων «ὑπομενετέον» ἡμῖν πρὶν ὑπὲρ Μεσσήνης ποιήσασθαι συνθήκας, οἵας κελεύουσιν ἡμᾶς. Ἰσοκρ. 6, 86.

4. Ὡς πάντα τὰ τοιαῦτ' ἄρ' ἔσθ' «ὑπομενετέον» πάσχοντας, πρὶν ἀλλάξασθαι πολιτείαν, ἣ χείρους ἀνθρώπους πέφυκε ποιεῖν. Πλάτ. Νομ. ς'. 15, 770, Ε.

390. «Ὑπτιαστέον» ὅρα, 2, 38.

391, 1. «Ὑφεκτέον» ἰδὲ 2, 62,

2. Ἀλλ' οὐκ ἔλαθες, ἦ δ' ὅς, ἀποδιδράσκων, ἀλλ' ἀμφοτέρων πέρι δίδου λόγον. «Ὑφεκτέον», ἦν δ' ἐγώ, δίκην. τοσόνδε μέντοι χάρισαί μοι. Πλάτ. Πολ. Ε, 7, 457, Ε.

392. «Ὑφελκτέον» ὅρα 2, 42.

393. Δεύτερον αὖτις ἔτικτεν ἀμήχανον, οὔτι «φατειὸν» Κέρβερον ὠμηστήν, Ἡσίοδος Θεογ. 310.

394, 1. Σω. Ἄλλο ἄρα ἑκάτερον «φατέον». Πλάτ. Θεαίτ. 18, 164, ϐ.

2. Ξε. Φέρε δή· διδασκαλικῆς δὲ ἄρα ἓν μόνον γένος «φατέον» εἶναι ἢ πλείω, δύο δέ τινε αὐτῆς εἶναι μεγίστω; σκόπει· Πλάτ. Σοφ. 16, 229.

3. «Φατέον» ὅρα 2, 363, 2.

4. Ξε. Τούτων δὴ ποῖόν τινα ἑκάτερον «φατέον» εἶναι; Πλάτ. Σοφ. 46, 263, ϐ.

5. Σω. Τούτων οὖν πότερα φῶμεν τοῖς μὲν ἀγαθοῖς ὡς ἐπὶ τὸ πολὺ τὰ γεγραμμένα παρατίθεσθαι ἀληθῆ διὰ τὸ θεοφιλεῖς εἶναι, τοῖς δὲ κακοῖς ὡς αὖ **τὸ** πολὺ τοὐναντίον, ἢ μὴ φῶμεν;

Πρω. Καὶ μάλα «φατέον». Πλάτ. Φιλ. 24, 40, ϐ.

6. Σω. Ἀριθμητικὴν πρῶτον ἆρ' οὐκ ἄλλην μέν τινα τὴν τῶν πολλῶν «φατέον», ἄλλην δ' αὖ τὴν τῶν φιλοσοφούντων; Πλάτ. Φιλ. 34, 56, D.

7. Καὶ τοῦ μὲν πάντα ἄνδρα μετέχειν «φατέον», νοῦ δὲ θεούς, ἀνθρώπων δὲ γένος βραχύ τι. Πλάτ. Τιμ. 18, 51, Ε.

8. Τὸ δὴ μεγαλοπρεπὲς οὖν καὶ τὸ πρὸς τὴν ἀνδρείαν ῥέπον ἀρρενωπὸν «φατέον» εἶναι, τὸ δὲ πρὸς τὸ κόσμιον καὶ σῶφρον μᾶλλον ἀποκλῖνον θηλυγενέστερον ὡς ὂν παραδοτέον ἔν τε τῷ νόμῳ καὶ λόγῳ. Πλάτ. Νομ. Ζ, 10, 802, Ε.

9. Τὴν δὲ τοῦ ἀρίστου δόξαν, ὅπῃ περ ἂν ἔσεσθαι τοῦτό γ' ἡγήσωνται πόλις εἴτε ἰδιῶταί τινες, ἐὰν αὕτη κρατοῦσα ἐν ψυχαῖς διακοσμῇ πάντα ἄνδρα, κἂν σφάλληταί τι, δίκαιον μὲν πᾶν εἶναι «φατέον» τὸ ταύτῃ πραχθὲν καὶ τὸ τῆς τοιαύτης ἀρχῆς γιγνόμενον ὑπήκοον ἑκάστων καὶ ἐπὶ τὸν τὸν ἅπαντα ἀνθρώπων βίον ἄριστον, δοξάζεσθαι δὲ ὑπὸ πολλῶν ἀκούσιον ἀδικίαν εἶναι τὴν τοιαύτην βλάβην. Πλάτ. Νομ. Θ, 7, 864.

10. Ἀθ. Εἰ μέν, ὦ θαυμάσιε, φῶμεν, ἡ ξύμπασα οὐρανοῦ ὁδὸς ἅμα καὶ φορὰ καὶ τῶν ἐν αὐτῷ ὄντων ἁπάντων νοῦ κινήσει καὶ περιφορᾷ καὶ λογισμοῖς ὁμοίαν φύσιν ἔχει καὶ ξυγγενῶς ἔρχεται, δῆλον ὡς τὴν ἀρίστην ψυχὴν «φατέον» ἐπιμελεῖσθαι τοῦ κόσμου παντὸς καὶ ἄγειν αὐτὸν τὴν τοιαύτην ὁδὸν ἐκείνην. Πλάτ. Νομ. Ι. 8, 897, C.

11. Ἀθ. Νῦν δὴ χαλεπὸν οὐδὲν ἔτι διαρρήδην εἰπεῖν, ὡς, ἐπειδὴ ψυχὴ μέν ἐστιν ἡ περιάγουσα ἡμῖν πάντα, τὴν δὲ οὐρανοῦ περιφορὰν ἐξ ἀνάγκης περιάγειν «φατέον» ἐπιμελουμένην καὶ κοσμοῦσαν ἤτοι τὴν ἀρίστην ψυχὴν ἢ τὴν ἐναντίαν. Πλάτ. Νομ. I, 8, 898, C.

395. Οὓς τίνα χρὴ προσδοκᾶν γνώμην ἕξειν, ἣν ἀκούσωσιν, ὅτι Θηβαῖοι τὸν δῆμον τὸν Ἀθηναίων πεπείκασιν, ὡς οὐδενός ἐστι «φειστέον» τῶν ὑπὸ Λακεδαιμονίοις γενομένων; Ἰσοκρ. 14, 15.

396, 1. Οἴ 'γὼ τάλαινα· τῆς τύχης γὰρ ὧδ' ἔχω· Μενέλαε, διαπεπράγμεθ'. Ἐκβαίνει δόμων ἡ θεσπιῳδὸς Θεονόη· κτυπεῖ δόμος κλήθρων λυθέντων. φεῦγ' ἀτάρ τι «φευκτέον»; Εὐριπ. 860.

2. Κο. δεῦρ', ὡς ἔοικε, τοῖς κακοῖσι «φευκτέον». Εὐριπ. Ἡρ. 259.

3. Καὶ τὸ δόρυ χρή, τὸν ὀβελίσκον, περιπατεῖν ἔχοντας ἡμᾶς τῶν ὅπλων ἐντός, παρ' αὐτὴν τὴν χύτραν ἄκραν ὁρῶντας ἐγγύς· ὡς οὐ «φευκτέον» νῷν. Ἀριστφ. Ὄρνιθ. 392.

4. «Φευκτέον» ἰδὲ 2, 67, 4. 118, 5. 174, 3. 304.

5. «Φευκτέον» νὴ Δία καὶ τοῦτον. Ξενοφ. Ἀπ. 2, 6, 4.

6. Ὅταν δὲ τοῖς πολὺ κρείττοσιν ἐπιχειρῇ καὶ προγιγνώσκῃ, ὅτι ποιήσαντα ὅ,τι ἂν δύνηται «φευκτέον» ἐστίν, εἰς τὰ τοιαῦτά φημι πολὺ κρεῖττον εἶναι ὀλίγους ἢ πάντας προσάγειν. Ξενφ. Ἱππρχ. 8, 12.

7. Ἀλλ' ἀνόητος μὲν ἄνθρωπος τάχ' ἂν οἰηθείη ταῦτα, «φευκτέον» εἶναι ἀπὸ τοῦ δεσπότου, καὶ ἂν λογίζοιτο ὅτι οὐ δεῖ ἀπό γε τοῦ ἀγαθοῦ φεύγειν, Πλάτ. Φδ. 7, 62, D.

8. Καὶ πᾶσαν κολακείαν καὶ τὴν περὶ ἑαυτὸν καὶ τὴν περὶ τοὺς ἄλλους, καὶ περὶ ὀλίγους καὶ πολλούς, «φευκτέον». Πλάτ. Γοργ. 83, 527, C.

397. Κρ. Κάτω νυν ἐλθοῦσ', εἰ «φιλητέον», φίλει κείνους· ἐμοῦ δὲ ζῶντος οὐκ ἄρξει γυνή. Σοφ. Ἀντιγ. 524.

398. Ὥσθ' ὁμοίως ἡμῖν «φιλονικητέον» ἐστὶν ὑπὲρ τῶν ἐνθάδε ψηφισθησομένων ὥσπερ ὑπὲρ τῶν ἐν τοῖς ὅπλοις ἀγώνων. Ἰσοκρ. 6, 92.

399, 1. Σὺ δέ, ὦ Κλεινία, ἔφην, ἀνάμνησόν με, πόθεν τότ' ἀπελίπομεν. ὡς μὲν οὖν ἐγῷμαι, ἐνθένδε ποθέν. «φιλοσοφητέον» ὡμολογήσαμεν τελευτῶντες· ἦ γάρ; Πλάτ. Εὐθδ. 17, 288, D.

2. «Φιλοσοφητέον» ἰδὲ 2, 322.

400. «Φιλοψυχητέον» ἰδὲ 2, 125, 8.

401, 1. Οὐκοῦν, ἦν δ' ἐγώ, ἐπείπερ ὡρμήσαμεν λέγειν, οὐ «φοβητέον» τὰ τῶν χαριέντων σκώμματα, ὅσα καὶ οἷα ἂν εἴποιεν εἰς τὴν τοιαύτην μεταβολὴν γενομένην καὶ περὶ τὰ γυμνάσια καὶ περὶ μουσικὴν καὶ οὐκ ἐλάχιστα περὶ τὴν τῶν ὅπλων σχέσιν καὶ ἵππων ὀχήσεις. Πλάτ. Πολ. Ε. 3, 452 β.

2. Ὥστε οὔτ' εἰ χαλεπὰ κατ' ἀρχὰς ἀκούειν ἐστὶ «φοβητέον», ἅ γ' ἔσται καὶ τῷ δυσμαθεῖ πολλάκις ἐπανιόντι σκοπεῖν, οὔτε εἰ .. Πλάτ. Νομ. I, 4, 891.

402. Ἡμεῖς δὲ ἀμαθέστεροί τε καὶ «φοιτητέον» ἡμῖν ἦν παρ' ἐκεῖνον, μέτρῳ ὄντι αὐτῷ ἑκάστῳ τῆς αὑτοῦ σοφίας; Πλάτ. Θεαίτ. 16, 161, Ε.

403. «Φραστέον» δή σοι δι' αἰνιγμῶν, ἵν' ἄν τι ἡ δέλτος ἢ πόντου ἢ γῆς ἐν πτυχαῖς πάθῃ, ὁ ἀναγνοὺς μὴ γνῷ. Πλάτ. Ἐπιστλ. 6, 312, D.

404, 1. Μάλιστα δ' ἂν γνοίητε, εἰ ἀναλογίσαισθε ἐπὶ τίνι ὑμῖν μέγα «φρονητέον» ἐστίν, ὥστε ἡμῶν ἄρχειν ἐπιχειρεῖν. Ξενοφ. Ἑλ. 2, 4, 40.

2. Ἐπεὶ δὲ δικαιοσύνης οὐδὲν ὑμῖν προσήκει, σκέψασθε εἰ ἄρα ἐπ' ἀνδρείᾳ ὑμῖν μέγα «φρονητέον». Ξενοφ. Ἑλ. 2, 4, 40.
3. Ἀλλ' ἐπὶ Λακεδαιμονίοις δὴ οἴεσθε μέγα «φρονητέον» εἶναι; Ξενοφ. Ἑλ. 2, 4, 41.
4. Ἄγαμαι δὲ κἀκεῖνο ὅτι οὐχ ὁπότερος πλείω τε χρήματα ἔχοι καὶ πλειόνων ἄρχοι, τούτῳ ἡγήσατο μεῖζον «φρονητέον» εἶναι, ἀλλ' ὁπότερος αὐτός τε ἀμείνων εἴη καὶ ἀμεινόνων ἡγοῖτο. Ξενοφ. Ἀγησ. 8, 4.
5. Ἀλλ' οὐδὲ μέντοι ὅτι ἀδίκως ἀποθνήσκω, διὰ τοῦτο μεῖον «φρονητέον»· οὐ γὰρ ἐμοὶ ἀλλὰ τοῖς καταγνοῦσι τοῦτο αἰσχρόν ἐστι. Ξενοφ. Ἀπολ. Σω. 26.
405, 1. Ἰφ. Εἶεν· τὰ τῆς θεοῦ μὲν πρῶτον ὡς καλῶς ἔχῃ «φροντιστέον» μοι. Εὐριπ. Ἰφ. Τ. 468.
2. Σω. Οὐκ ἄρα, ὦ βέλτιστε, πάνυ ἡμῖν οὕτω «φροντιστέον», τί ἐροῦσιν οἱ πολλοὶ ἡμᾶς, ἀλλ' ὅ,τι ὁ ἐπαΐων περὶ τῶν δικαίων καὶ ἀδίκων, ὁ εἷς, καὶ αὐτὴ ἡ ἀλήθεια. Πλάτ. Κρίτων 8, 48.
3. Οὐ γάρ, εἰ κακῶς ἔχει τὰ πράγματα, διὰ τοῦτο μηδέν, ὅπως μὴ χεῖρον ἕξει, «φροντιστέον». Αἰσχίν. Ἐπιστλ. 11, 13.
406, 1. Αὐτὸς δ' ἐπηλάλαξεν, ἔνθεος δ' Ἄρει βακχᾷ πρὸς ἀλκὴν Θυιὰς ὣς φόνον βλέπων. τοιοῦδε φωτὸς πεῖραν εὖ «φυλακτέον»· φόβος γὰρ ἤδη πρὸς πύλαις κομπάζεται. Αἰσχύλ. ἑπτὰ ἐπὶ Θ. 499.
2. Ἰφ. Ἀλλ' εἰς ἀνάγκην κείμεθ' ἣν «φυλακτέον». Εὐριπ. Ἰφ. Γ. 620.
3. «Φυλακτέον» ἰδὲ 2, 48. 353, 3.
4. Πολλῶν δὲ πραγμάτων ἡμῖν καὶ δεινῶν ἐφεστώτων, ἃ δεῖ διαφυγεῖν, ἐκεῖνο μάλιστα «φυλακτέον», ὅπως μηδὲν ἀνάνδρως φανησόμεθα διαπραττόμενοι μηδὲ συγχωροῦντες τοῖς πολεμίοις παρὰ τὸ δίκαιον. Ἰσοκρ. 6, 94.
5. Ἃ «φυλακτέον» ἡμῖν ἐστιν. Ἰσοκρ. 12, 24.
6. Ἃ «φυλακτέον» ἐστίν, ὅπως μηδὲν ὑμῖν συμβήσεται τοιοῦτον, μηδ' ἃ τοῖς ἄλλοις ἂν ἐπιτιμήσαιτε, τούτοις αὐτοὶ φανήσεσθε περιπίπτοντες. Ἰσοκρ. 15, 19.
7. Ὑπὲρ ὧν «φυλακτέον» ἐστίν, ὅπως μηδὲν τοιοῦτον ἐξαμαρτήσεσθε περὶ ἡμᾶς αὐτούς, Ἰσοκρ. 15, 298.
8. Ἡ γὰρ τυραννὶς πάντοθεν τοξεύεται δεινοῖς ἔρωσιν, ἧς «φυλακτέον» πέρι. (Ὁ Valckenarius γράφει «δεινῶς ἐρῶσιν, οὓς φυλακτέον, πάτερ) Εὐριπ. Ἀποσ. 846.
9. Ὁ δὲ τύραννος οὐδ' ἐπειδὰν εἴσω τῆς οἰκίας παρέλθῃ ἐν ἀκινδύνῳ ἐστίν, ἀλλ' ἐνταῦθα δὴ καὶ μάλιστα «φυλακτέον» οἴεται εἶναι. Ξενοφ. Ἱέρων 2, 10.
10. Τούς γε μέντοι ὑπόπτας φύσει «φυλακτέον». Ξενοφ. Ἱππ. 3, 9.
11. Καὶ ἐν μουσικῇ δὴ καὶ ἐν ἰατρικῇ καὶ ἐν τοῖς ἄλλοις πᾶσι καὶ τοῖς ἀνθρωπείοις καὶ τοῖς θείοις, καθ' ὅσον παρείκει, «φυλακτέον» ἑκάτερον τὸν Ἔρωτα· ἔνεστον γάρ. Πλάτ. Συμπ. 12, 187, Ε.
12. Ἕτερον δή, ὡς ἔοικε, τοῖς φύλαξιν εὑρήκαμεν, ἃ παντὶ τρόπῳ «φυλακτέον» ὅπως μήποτε αὐτοὺς λήσει τὴν πόλιν παραδόντα. Πλάτ. Πολ. Δ, 2, 421, Ε.
13. Οὐκοῦν «φυλακτέον» παντὶ τρόπῳ, μὴ τοιοῦτον ἡμῖν οἱ ἐπίκουροι ποιήσωσι πρὸς τοὺς πολίτας, ἐπειδὴ αὐτῶν κρείττους εἰσίν, ἀντὶ ξυμμάχων εὐμενῶν δεσπόταις ἀγρίοις ἀφομοιωθῶσιν; «Φυλακτέον», ἔφη. Πλάτ. Πολ. Γ, 22, 416, 6².

14. Διὸ «φυλακτέον», ὅπως ἂν ἔχωσι τὰς κινήσεις πρὸς ἄλληλα συμμέτρους. Πλάτ. Τιμ. 43, 89, Ε.

15. Τοὺς δὲ μὴ τοιούτους ἐπιτηδεύματά τε ἐπιτηδεύοντας, ἃ ῥοπὴν ἔχει τινα ἰσχυρὰν πρὸς τὸ προτρέπειν κακοὺς γίγνεσθαι, «φυλακτέον» μᾶλλον. Πλάτ. Νομ. ια'. 4, 920, ϐ.

16. «Φυλακτέον» δὴ τοῖς μὲν ὀλιγαρχικοῖς καὶ τοῖς τὴν ἄνισον πολιτείαν πολιτευομένοις τοὺς ἐν χειρῶν νόμῳ τὰς πολιτείας καταλύοντας, ὑμῖν δὲ τοῖς τὴν ἴσην καὶ ἔννομον πολιτείαν ἔχουσι τοὺς παρὰ τοὺς νόμους ἢ λέγοντας ἢ βεϐιωκότας κολάζειν. Αἰσχίνης 1, 5.

17. Τοῦτο μέντοι, ὅτι τοιοῦτόν ἐστι, «φυλακτέον» ἡμῖν. Δημ. 5, 23.

407. «Φυσητέον» ἰδὲ 2, 75, 2.

408, 1. Φοϐουμένης δὲ τῆς μητρός, ὅτι τὸ χωρίον ἐπυνθάνετο νοσῶδες εἶναι, καὶ τῶν ξένων συμϐουλευόντων αὐτοῦ μένειν, ὅμως ἔδοξεν ἡμῖν ἐκείνῳ «χαριστέον» εἶναι. Ἰσοκρ. 19, 22.

2. Λέγει γὰρ ὡς «χαριστέον» μὴ ἐρῶντι μᾶλλον ἢ ἐρῶντι. Πλάτ. Φρ. 1, 227, C.

409. Πρα. Χαλεπὸν τὸ πρᾶγμ'· ὅμως δὲ «χειροτονητέον» ἐξωμισάσαις τὸν ἕτερον βραχίονα. Ἀριστφ. Ἐκκλ. 266.

410. Ἐγὼ μὲν οὖν καὶ Κάδμος, ὃν οὐ διαγελᾷς, κισσῷτ' ἐρεψόσμεθα καὶ χορεύσομεν, πολιὰ ξυνωρίς, ἀλλ' ὅμως «χορευτέον», κοὐ θεομαχήσω σῶν λόγων πεισθεὶς ὕπο. Εὐριπ. Βακχ. 324.

411. Ἀλλὰ μὴν οὐδ' ἱματίων γε ἕνεκα «χρηματιστέον». Ξενοφ. Λακ. π. 7, 3.

412, 1. «Χρηστέον» ἰδὲ 2, 234, 67. 306.

2. Ἀτάρ, ἔφη, πότερά σε τάττειν μόνον ἐδίδαξεν, ἢ καὶ ὅπῃ καὶ ὅπως «χρηστέον» ἑκάστῳ (τῶν ταγμάτων); Ξενοφ. Ἀπ. 3, 1, 11.

3. . . . ὅτι Λακεδαιμόνιοι μέγιστα παραπίπτοιεν ἐν τῷ διαλλάττειν τοὺς ναυάρχους, πολλάκις ἀντ' ἐπιτηδείων γενομένων καὶ ἄρτι συνιέντων τὰ ναυτικὰ καὶ ἀνθρώποις ὡς «χρηστέον» γιγνωσκόντων ἀπείρους θαλάττης πέμποντες καὶ ἀγνῶτας τοῖς ἐκεῖ, κινδυνεύοιέν τι παθεῖν διὰ τοῦτο, Ξενοφ. Ἑλ. 1, 6, 4.

4. Οὐ μέντοι οὕτω γιγνώσκω ὡς τοῖς ἁμαρτάνουσιν οὐδέποτε ἔτι «χρηστέον». Ξενοφ. Ἑλ. 6, 3, 10.

5. Περιπατεῖν τε γὰρ ἀναγκάζονται ἐν τῇ οἴκαδε ἀφόδῳ, καὶ μὴν τὸ ὑπὸ οἴνου μὴ σφάλλεσθαι ἐπιμελεῖσθαι, εἰδότες ὅτι οὐκ ἔνθα περ ἐδείπνουν καταμενοῦσι, καὶ τῇ ὄρφνῃ ὅσα ἡμέρᾳ «χρηστέον». Ξενοφ. Λακ. π. 5, 7.

6. «Χρηστέον» δὲ τῷ προϐολίῳ καὶ ταῖς προϐολαῖς τοῦ σώματος ὡς εἴρηται· Ξενοφ. Κυνηγ. 10, 22.

7. Ξε. Θατέρῳ τοίνυν «Χρηστέον»· ὁ γὰρ σοφιστὴς οὐκ ἐν τοῖς εἰδόσιν ἦν, ἀλλ' ἐν τοῖς μιμουμένοις δή. Πλάτ. Σοφ. 52, 267, Ε.

8. Τὰ πρόσθεν ἐκεῖνα, ὦ Καλλίκλεις, συμϐαίνει πάντα, ἐφ' οἷς σύ με ἤρου, εἰ σπουδάζων λέγοιμι, λέγοντα ὅτι κατηγορητέον εἴη καὶ αὑτοῦ καὶ υἱέος καὶ ἑταίρου, ἐάν τι ἀδικῇ, καὶ τῇ ῥητορικῇ ἐπὶ τοῦτο «χρηστέον». Πλάτ. Γοργ. 63, 508, ϐ.

9. Καὶ τῇ ῥητορικῇ οὕτω «χρηστέον» ἐπὶ τὸ δίκαιον ἀεί, καὶ τῇ ἄλλῃ πάσῃ πράξει. Πλάτ. Γοργ. 83, 527, C.

10. Οὐκοῦν, εἶπον, τῇ περὶ τὸν οὐρανὸν ποικιλίᾳ παραδείγμασι «χρη-

στέον» τῆς πρὸς ἐκεῖνα μαθήσεως ἕνεκα, Πλάτ. Πολ. Ζ, 11, 529, D.

11. Λέγω δ' οὐκ οἴνου περὶ πόσεως τὸ παράπαν ἢ μή, μέθης δὲ αὐτῆς πέρι, πότερον, ὥσπερ Σκύθαι χρῶνται καὶ Πέρσαι, «χρηστέον», καὶ ἔτι Καρχηδόνιοι. Πλάτ. Νομ. Α, 9, 637, D.

12. Αθ. Εἰ μέν τις πόλις ὡς οὔσης σπουδῆς τῷ ἐπιτηδεύματι τῷ νῦν εἰρημένῳ χρήσεται μετὰ νόμων καὶ τάξεως, ὡς τοῦ σωφρονεῖν ἕνεκα μελέτης χρωμένη, καὶ τῶν ἄλλων ἡδονῶν μὴ ἀφέξεται ὡσαύτως καὶ κατὰ τὸν αὐτὸν λόγον, τοῦ κρατεῖν αὐτῶν ἕνεκα μηχανωμένη, τοῦτον μὲν τὸν τρόπον ἅπασι τούτοις «χρηστέον». Πλάτ. Νομ. Β, 14, 673, Ε.

13. Οὐδὲ γὰρ ᾄσματος οὐδὲ λόγου παντὸς δεῖ τὸ τοιοῦτον δρᾷν· καίτοι πέφυκέ γε εἶναι πᾶσιν, ἀλλ' οὐ «χρηστέον» ἅπασιν·Πλάτ.Νομ. Δ, 12, 723, D.

14. Οὕτω δὴ «χρηστέον» ἀναγκαίως μὲν τοῖν ἰσοτήτοιν ἀμφοῖν, ὡς δ' ὅ,τι μάλιστα ἐπ' ὀλιγίστοις τῇ ἑτέρᾳ, τῇ τῆς τύχης δεομένῃ. Πλάτ. ϛ'. 5, 757, Ε.

15. Χρυσίον ἄρα καὶ ἀργύριον καὶ τἆλλα τὰ δοκοῦντα χρήματα εἶναι τούτῳ ἂν μόνῳ χρήσιμα εἴη, ὅστις τυγχάνοι ἐπιστάμενος ὡς «χρηστέον» αὐτοῖς. Οὕτως. οὐκοῦν πρότερον ἐδόκει τοῦ καλοῦ κἀγαθοῦ ἀνθρώπου εἶναι εἰδέναι, ὅπου τε καὶ ὅπως τούτων ἑκάστοις «χρηστέον» ἐστίν; Φημί. Πλάτ. Ἐρυξίας 24, 403, β^2.

16. Τοῖς ἄρα καλοῖς κἀγαθοῖς τῶν ἀνθρώπων, τούτοις ἂν μόνοις καὶ χρήσιμα ταῦτ' εἴη, εἴπερ γε οὗτοι ἐπιστήμονες ὡς «χρηστέον». Πλάτ. Ἐρυξίας 25, 403, β.

413, 1. Ξε. Εἶεν· τοῦτο μὲν ἀτεχνῶς ἡμῖν ὥσπερ δρᾶμα, καθάπερ ἐρρήθη νῦν δὴ κενταυρικὸν ὁρᾶσθαι καὶ σατυρικόν τινα θίασον, ὃν δὴ «χωριστέον» ἀπὸ πολιτικῆς εἴη τέχνης, νῦν οὕτω πάνυ μόγις ἐχωρίσθη. Πλάτ. Πολ. 41, 303, D.

2. «Χωριστέον» ἰδὲ 2, 124, 3.

414. «Ὠφελητέον» ἰδὲ 2, 67.

ΣΗΜ. Ὁ 15 καὶ 16 τοῦ 412 φέρεται ὑπό τινων μὲν ἐν τῷ Πλάτωνι, ὑπό τινων δὲ ἐν τῷ Αἰσχίνῃ τῷ Σωκρατικῷ.

III

ΤΕΑ

1. (τῆς γὰρ δὴ θαλάσσης πρῶτος ἐτόλμησεν εἰπεῖν ὡς «ἀνθεκτέα» ἐστί), Θουκ. 1, 93, 4.

2. Οὗ ἕνεκα ἥ τε σιωπὴ ἀσκητέα καὶ ἡ τάξις φυλακτέα. Ξενοφ. ΚΠ. 5, 3, 43.

3. Καὶ ταῦτα μὴ κρύβδην φέρετε, ἀλλὰ φανερῶς, ἵνα γνῶτε ὅτι καὶ αὐτοῖς τοῖς δικάζουσι «δοτέα» δίκη ἐστιν ἂν μὴ δικάσωσιν ὀρθῶς.Ἀντισθ.Αἴας 8.

4. Βλε. Οἶσθ' οὖν ἀπολωλεκυῖα πυρῶν «ἑκτέα», ἣν χρῆν ἐμ' ἐξ ἐκκλησίας εἰληφέναι; Ἀριστφ. Ἐκκλ. 547.

5. Ἐκείνη γὰρ ἡ ὑγιεινὴ οὐκέτι ἱκανή, ἀλλ' ἤδη ὄγκου «ἐμπληστέα» καὶ πλήθους, ἃ οὐκέτι τοῦ ἀναγκαίου ἕνεκά ἐστιν ἐν ταῖς πόλεσιν, οἷον . . . Πλάτ. Πολ. Β, 13, 373, β.

6. Μυρ. ἰδού, κατάκεισ' ἀνύσας τι· κἀγὼ 'κδύομαι. Καίτοι, τὸ δεῖνα, ψίαθος ἐστ' «ἐξοιστέα». Κιν. ποία ψίαθος; Ἀριστφ. Λυσιστρ. 921.

7. Ξε. Ἣν δέ γε θηρεύομεν ἐπιστήμην, ἐν τοῖς ἡμέροις ἦν τε καὶ ἔστιν, ἐπὶ τοῖς ἀγελαίοις μὲν ζητητέα θρέμμασιν. Πλάτ. Πολ. 7, 264.

2. Πεῖρά τις «ζητητέα» τοιάδ' ἀφ' ἧς γέροντι δηλώσω πατρὶ μήτοι φύσιν γ' ἄσπλαγχνος ἐκ κείνου γεγώς. Σοφ. Αἴας 470.

8. Τότε δὲ οὐκέτι ἀνασχετὸν ἐποιοῦντο, ἀλλὰ ἐπιχειρητέα ἐδόκει εἶναι πάσῃ προθυμίᾳ καὶ «καθαιρετέα» ἡ ἰσχὺς ἢν δύνωνται, ἀραμένοις τόνδε τὸν πόλεμον. Θουκυδ. 1, 118, 2.

9, 1. Οὐκ ἄρα διὰ τὴν ὑπὲρ τῶν ξυλίνων σκευῶν ἐπιστήμην, βουλευομένη, ὡς ἂν ἔχοι βέλτιστα, σοφὴ «κλητέα» πόλις. Πλάτ. Πολ. Δ, 6, 428, C.

2. Ἀλλὰ μὴν ἀνδρεία γε αὐτή τε καὶ ἐν ᾧ κεῖται τῆς πόλεως, δι' ὃ τοιαύτη «κλητέα» ἡ πόλις, οὐ πάνυ χαλεπὸν ἰδεῖν. Πλάτ. Πολ. Δ, 7, 429.

10. Οὐκοῦν καὶ τῶν μὲν μαχομένων ἀπειλητικὰ τὰ ὄμματα ἀπεικαστέον, τῶν δὲ νενικηκότων εὐφραινομένων ἡ ὄψις «μιμητέα;» Ξενοφ. Ἀπ. 3, 10, 8.

11. Αθ. Σκόπει δὴ ποτέροις τισὶν ἡ πόλις ἡμῖν ἐστὶ «παραδοτέα». Πλάτ. Πολ. Νομ. Δ, 6, 715.

12. Πάσης δ' ὑπὲρ πάντων τῆς κηλῖδος εἰς ὑμᾶς ἀναφερομένης, πολλὴ εὐλάβεια ὑμῖν τούτων «ποιητέα» ἐστι· Ἀντιφ. 3, Γ, 11.

2. Ταῦτ' οὖν ἀμφοτέροις αὐτοῖς λογιζομένοις ἐδόκει «ποιητέα» εἶναι ἡ ξύμβασις, καὶ οὐχ ἧσσον τοῖς Λακεδαιμονίοις, ἐπιθυμίᾳ τῶν ἀνδρῶν τῶν ἐκ τῆς νήσου κομίσασθαι· Θουκ. 5, 15.

13. Οδ. οὔκ, ἀλλ' ἀληθεῖς. ἡ δ' ὁδὸς «πορευτέα». Σοφ. Φιλ. 993.

14. Ἆρ' οὖν διὰ τὴν τῶν τεκτόνων ἐπιστήμην σοφὴ καὶ εὔβουλος ἡ πόλις «προσρητέα;» Πλάτ. Πολ. Δ, 6, 428, 6.

15. Ἐκ τῶν λεγομένων ἡ ἀλήθεια «σκεπτέα» αὐτῶν ἐστιν. Ἀντιφ. 3, Δ, 2.

16. Τὰ δ' οὖν ἐμοὶ φαινόμενα οὕτω φαίνεται, ἐν τῷ γνωστῷ τελευταία ἡ τοῦ ἀγαθοῦ ἰδέα καὶ μόγις ὁρᾶσθαι, ὀφθεῖσα δὲ «συλλογιστέα» εἶναι ὡς ἄρα πᾶσι πάντων αὕτη ὀρθῶν τε καὶ καλῶν αἰτία, Πλάτ. Πολ. Ζ, 3, 517, C.

17. Οὐκοῦν «ὑποβλητέα» ἂν εἴη τῷ φυτῷ γῆ. Ξενοφ. Οἰκ. 19, 9.

18. «Φυλακτέα» ἰδὲ 3, 2,

19. Μετὰ δὲ ταῦτα ὁ Σωκράτης, οὐκοῦν, ἔφη, τοῦτο μέν, ὦ Γλαύκων, δῆλον ὅτι εἴπερ τιμᾶσθαι βούλει, «ὠφελητέα» σοι ἡ πόλις ἐστί; Ξενοφ. Ἀπ. 3, 6, 3.

IV

ΤΕΗ

1. Οἱ δὲ παραυτίκα μὲν ὑπίσχοντο πέμψειν τε καὶ ἀμυνέειν, φράζοντες, ὡς οὔ σφι «περιοπτέη» ἐστι ἡ Ἑλλὰς ἀπολλυμμένη· Ἡρόδ. 7, 168.

[redacted]

V

ΤΕΟΙ

1. Μετὰ γὰρ τοῦτο «καταβιβαστέοι» ἔσονταί σοι εἰς τὸ σπήλαιον πάλιν ἐκεῖνο καὶ «ἀναγκαστέοι» ἄρχειν τά τε περὶ τὸν πόλεμον καὶ ὅσαι νέων ἀρ-

χαί, ἵνα μηδ' ἐμπειρίᾳ ὑστερῶσι τῶν ἄλλων. Πλάτ. Πολ. Ζ, 18, 539, Ε.

2. Καὶ ἔτι καὶ ἐν τούτοις «βασανιστέοι», εἰ ἐμμενοῦσιν ἑλκόμενοι πανταχόσε ἤ τι καὶ παρακινήσουσιν. Πλάτ. Πολ. Ζ, 18, 539, Ε.

3. Καὶ τούτων μὲν ἑτέρωθι ἔσται λόγος, νῦν δὲ ἐκείνοισι ταῦτα ποιεῦσι οὐκ ἐπιτρεπτέα ἐστί, ἀλλὰ «διωκτέοι» εἰσὶ εἰς ὃ καλαμφθέντες δώσουσι ἡμῖν τῶν δὴ ἐποίησαν Πέρσας πάντων δίκας. Ἡροδ. 9, 58.

4. Ὥςε παντάπασιν «ἐξαιρετέοι» ἡμῖν οἱ τοιοῦτοί εἰσι. Ξενοφ. ΚΠ. 2, 2, 25.

5. Ξε. «Ζητητέοι» γε μὴν οὐδὲν ἂν εἴησαν οὐθ' ἧττον οὔτε μᾶλλον, εἴθ' οὕτως εἴτ' ἐκείνως πεφύκασιν. Πλάτ. Πολ. 17, 275, C.

6. Μετὰ δὴ μουσικὴν γυμναστικῇ «θρεπτέοι» οἱ νεανίαι. Πλάτ. Πολ. Γ, 13, 403, C.

7. «Καταβιβαστέοι» ἰδὲ 5, 1.

8. Καὶ οὐ «λεκτέοι» γ', ἔφην, ὦ Ἀδείμαντε, ἐν τῇ ἡμετέρᾳ πόλει, οὐδὲ «λεκτέον» νέῳ ἀκούοντι, ὡς ἀδικῶν . . . Πλάτ. Πολ. Β, 17, 378.

9. Πάντων δὴ ἕνεκα τούτων οὐκ ἀφετέον τὸ μάθημα, ἀλλ' οἱ ἄριστοι τὰς φύσεις «παιδευτέοι» ἐν αὐτῷ. Πλάτ. Πολ. Ζ, 8, 526, C.

10, 1. Καὶ μὴν οἱ συμμαχεῖν ἐθέλοντες εὖ «ποιητέοι», ἵνα θέλωσι προθυμεῖσθαι. Ξενοφ. Ἀπ. 2, 6, 27.

2. Καὶ οἱ λακτίζοντες δὲ ἀναβεβαμένοι ἵπποι ἐκποδὼν «ποιητέοι». Ξενοφ. Ἱππρχ. 1, 4.

3. Οὐκοῦν δὴ ἑορταί τινες νομοθετητέαι ἔσονται, ἐν αἷς ξυνάξομεν τάς τε νύμφας καὶ τοὺς νυμφίους, καὶ θυσίαι καὶ ὕμνοι «ποιητέοι» τοῖς ἡμετέροις ποιηταῖς πρέποντες τοῖς γιγνομένοις γάμοις. Πλάτ. Πολ. Ε, 8, 459, Ε.

4. Κλῆροι δή τινες, οἶμαι, «ποιητέοι» κομψοί, ὥστε τὸν φαῦλον ἐκεῖνον αἰτιᾶσθαι ἐφ' ἑκάστης συνέρξεως τύχην, ἀλλὰ μὴ τοὺς ἄρχοντας. Πλάτ. Πολ. Ε, 8, 460.

11. Εἰ γὰρ δὴ ὁμολογουμένως ἔτι τούτων καὶ ἀχρηστοτέροις καὶ πονηροτέρος ἡμῖν εἶναι, συνέβαινεν, οὐ «τυπτέοι» οὐδὲ ὑβριστέοι δήπου ἐσμέν. Δημ. 54, 44.

12. «Ὑβριστέοι» ἰδὲ 5, 11.

VI

ΤΕΩΝ

1. Ἵν' οὖν μὴ παντάπασιν ἐκλυθῶ πολλῶν ἔτι μοι «λεκτέων» ὄντων, ἀρξάμενος ἀπὸ τῆς παραγραφῆς ἀνάγνωθι τὰ περὶ τῆς ἡγεμονίας αὐτοῖς. Ἰσοκρ. 15, 59.

2. Περὶ μὲν δὴ τῶν ὑμῖν «πρακτέων» καθ' ὑμᾶς αὐτοὺς ὕστερον βουλεύσεσθε, ἂν σωφρονῆτε. Δημ. 6, 28.

3. Ἐν δ' ὀφίων κεφαλαὶ δεινῶν ἔσαν οὔτι «φατειῶν» δώδεκα, ταὶ φοβέεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων, οἵ τινες ἀντιβίην πόλεμον Διὸς υἷι φέροιεν. Ἡσιόδου Ἀσπὶς Ἡρακλ. 161.

VII.

ΤΕΑΙ

1. Οὐκοῦν αὗται, ἦν δ' ἐγώ, «ἀφαιρετέαι»· ἄχρηστοι γὰρ καὶ γυναιξὶν ἃς δεῖ ἐπιεικεῖς εἶναι, μὴ ὅτι ἀνδράσιν. Πλάτ. Πολ. Γ, 10, 398, Ε.

2. Καὶ γυναῖκες ἄρα αἱ τοιαῦται τοῖς τοιούτοις ἀνδράσιν «ἐκλεκτέαι» ξυνοικεῖν τε καὶ ξυμφυλάττειν, ἐπείπερ εἰσὶν ἱκαναὶ καὶ ξυγγενεῖς αὐτοῖς τὴν φύσιν. Πλάτ. πολ. Ε, 6, 456, β.

3. Οὐ μόνον γ' ἔφη, ὦ Σιμμία, ὁ Σωκράτης, ἀλλὰ ταῦτά τε εὖ λέγεις, καὶ τὰς ὑποθέσεις τὰς πρώτας, καὶ εἰ πισταὶ ὑμῖν εἰσιν, ὅμως «ἐπισκεπτέαι» σαφέστερον. Πλάτ. Φδ. 56, 167, β.

4. Κλει. φέρ' ἴδω· τίς ἡ πρώτη σύ; Νονη. ποῖ τις τρέψεται; Κλει. «ζητητέαι» γάρ ἐστε. Ἀριστφ. Θεσμφ. 604.

5. «Νομοθετητέαι» ἰδὲ 5, 10, 3.

VIII

ΤΕΟΥΣ

1. Ἀλλ' ἐγὼ μέν, ἔφη ὁ Κῦρος, ὦ ἄνδρες, γιγνώσκω τοὺς τοιούτους ἀνθρώπους οἷον καὶ οὗτος νῦν λέγει, εἴπερ δεῖ ἐνεργὸν καὶ πειθόμενον ἔχειν τὸ στράτευμα, «ἐξαιρετέους» εἶναι ἐκ τῆς στρατιᾶς. Ξενοφ. ΚΠ. 2, 2, 23.

2. Εἰ μή τιν' οὖν ἄλλον τρόπον ἔχετε λέγειν, τούτῳ «πολιορκητέους» φημι εἶναι τοὺς ἄνδρας. Ξενοφ. ΚΠ, 7, 5, 7.

IX.

ΤΕΑΣ

1. Τὰ μὲν ἄλλα τοίνυν, ἦν δ' ἐγώ, ἐκείνας τὰς φύσεις οἵου δεῖν «ἐκλεκτέας» εἶναι· Πλάτ. Πολ. Ζ, 15, 535.

2. Ὁ δὲ ἄκων μὲν εἶπεν, ὅτι καὶ μετὰ τῶν ξυναρχόντων καθ' ἡσυχίαν μᾶλλον βουλεύσοιτο, ὅσα μέντοι ἤδη δοκεῖν αὐτῷ μὲν οὐκ ἔλασσον ἢ ἑκατὸν πλευστέα εἶναι (αὐτῶν δ' Ἀθηναίων ἔσεσθαι ὁπλιταγωγοὺς ὅσαι ἂν δοκῶσι, καὶ ἄλλας ἐκ τῶν ξυμμάχων «μεταπεμπτέας» εἶναι, Θουκ. 6, 25, 2.

3. Ἀλλ' ἐν πᾶσι τούτοις ἀνανεύειτε καὶ ὁμοίας φησὶν ἁπάσας εἶναι καὶ «τιμητέας» ἐξ ἴσου. Πλάτ. Πολ. Η, 13, 561, C.

X.

ΤΕΑ

1. Καίτοι τὸ μὲν δίκαιον, οὐχ ᾗ 'γὼ λέγω, ἀλλ' ᾗ σὺ Κρίνεις. Εἰδ' ἐλευθέραν με δεῖ ζῆν, τῶν κρατούντων ἐστὶ πάντ' «ἀκουστέα». Σοφ. Ἠλ. 338.

2. Διο. Ἴθι δὴ λέγ'. οὐ γὰρ μοὐστὶν ἀλλ' «ἀκουστέα» τῶν σῶν προγόνων τῆς ὀρθότητος τῶν ἐπῶν. Ἀριστφ. Βατρχ. 11, 80.

3. Ποιήσας δὲ τοῦτο κήρυκας τῇ τε ἄλλῃ διέπεμπε καὶ δὴ καὶ εἰς Αἴγυπτον προερέοντα τῷ στρατῷ, ὡς Σμέρδιος τοῦ Κύρου «ἀκουστέα» εἴη τοῦ λοῦ λοιποῦ, ἀλλ' οὐ Καμβύσεω. Ἡρόδ. 3, 61.

4. Ὅμως δὲ—οὐ γὰρ ἐν τῷ νῦν παρόντι μόνον «ἀκουστέα», ἀλλὰ καὶ αὖθις πολλάκις ἐπανιτέον—ταῦτα θέντες ἔχειν ὡς νῦν λέγεται, ἐπ' αὐτὸν

δὴ τὸν νόμον ἴωμεν, καὶ διέλθωμεν οὕτως, ὥσπερ τὸ προοίμιον διήλθομεν. Πλάτ. Πολ. 2, 13, 532, D.

5. Ταῦτ' οὖν ἡμῖν αὐτὰ μετ' ἐκεῖνα ὄντως ἐστὶ ῥητέα τε καὶ «ἀκουστέα». Πλάτ. Νομ. Δ, 12, 724, ϐ.

2. Τῶν δ' ὀρθουμένων σώζει τὰ πολλὰ σώμαθ' ἡ πειθαρχία. οὕτως «ἀμυντέ'» ἐστὶ τοῖς κοσμουμένοις, κοὔτοι γυναικὸς οὐδαμῶς ἡσσητέα. Σοφ. 'Αντιγ. 675.

3. Δώδεκα μὲν γὰρ δὴ μέρη τὰ πάντα ἐκ τῆς χώρας γιγνόμενα νέμειν χρεὼν πάντας, ἢ καὶ «ἀναλωτέα»· Πλάτ. Νομ. Η, 13, 847, Ε.

4. Χο. Ἆρ' οὐχ ὕϐρις τάδ; Κρ. ὕϐρις, ἀλλ' «ἀνεκτέα». Σοφ. οἰδ. Κ, 883.

5. Οὐκοῦν ἔτι καὶ τὰ περὶ ταῦτα ὀνόματα πάντα τὰ δεινά τε καὶ φοϐερὰ «ἀποϐλητέα», Πλάτ. Πολ. Γ, 2, 387, ϐ.

6. Τὰ δ' ἐπιτηδεύματα οὐ τὰ αὐτὰ «ἀποδοτέα» ταῖς αὐταῖς φύσεσιν; Πλάτ. Πολ. Ε, 6, 456, ϐ.

7. Καὶ ὀρθῶς γ', ἔφη, φοϐούμεθα. «'Αφαιρετέα» ἄρα; Πλάτ. Πολ. Γ, 2, 387, C.

8. Λυσ. Λέγοιμ' ἄν· οὐ δεῖ γὰρ κεκρύφθαι τὸν λόγον· ἡμῖν γάρ, ὦ γυναῖκες, εἴπερ μέλλομεν ἀναγκάσειν τοὺς ἄνδρας εἰρήνην ἄγειν, «ἀφεκτέ'» ἐστί. Καλ. τοῦ; φράσον. Λυσ. ποιήσετ' οὖν; Καλ. ποιήσομεν, κἂν ἀποθανεῖν ἡμᾶς δέῃ. Λυσ. «'Αφεκτέα» τοίνυν ἡ μίν ἐστι τοῦ πέους. 'Αριστφ. Λυσιστρ. 122—125.

9. Δικ. ὥρα 'στὶν ἄρα μοι καρτερὰν ψυχὴν λαϐεῖν, καίμοι «βαδιστέ'» ἐστὶν ὡς Εὐριπίδην. 'Αριστ. 'Αχαρνῆς 394.

10. Τοῖς δὲ 'Αθηναίοις τήν τε ἀπόκλησιν ὁρῶσι καὶ τὴν ἄλλην διάνοιαν αὐτῶν αἰσθομένοις «βουλευτέα» ἐδόκει. Θουκ. 7, 60.

11. Εἰ δέ μοι ἐφαίνετο «γραπτέα» θ' ἱκανῶς εἶναι πρὸς τοὺς πολλοὺς καὶ ῥητά, τί τούτου κάλλιον ἐπέπρακτ' ἂν ἡμῖν ἐν τῷ βίῳ, ἢ τοῖς τε ἀνθρώποισι μέγα ὄφελος γράψαι καὶ τὴν φύσιν εἰς φῶς πᾶσι προαγαγεῖν; Πλάτ. 'Επιστλ. Ζ, 341, D.

12. Ἄλλοις μὲν γὰρ χρήματά ἐστι πολλὰ καὶ νῆες καὶ ἵπποι, ἡμῖν δὲ ξύμμαχοι ἀγαθοί, οὓς οὐ παραδοτέα τοῖς 'Αθηναίοις ἐστίν, οὐδὲ δίκαις καὶ λόγοις «διακριτέα» μὴ λόγῳ καὶ αὐτοὺς βλαπτομένους, ἀλλὰ τιμωρητέα ἐν τάχει καὶ παντὶ σθένει. Θουκ. 1, 86, 3.

13. Οὐκοῦν ἓν εἰ ἔστι, φαμέν, τὰ συμϐαίνοντα περὶ αὐτοῦ, ποῖά ποτε τυγχάνει ὄντα, «διομολογητέα» ταῦτα· οὐχ οὕτως; Πλάτ. Παρμ. 13, 142, ϐ.

14. Ἆρ' οὖν οὐ πανταχοῦ ταῦτα «διωκτέα» τοῖς νέοις εἰ μέλλουσι τὸ ἑαυτῶν πράττειν; «Διωκτέα» μὲν οὖν. Πλάτ. Πολ. Γ, 11. 400, Ε[2].

15. Πρῶτοι γὰρ Ἄνδριοι νησιωτέων αἰτηθέντες πρὸς Θεμιστοκλέος χρήματα οὐκ ἔδοσαν, ἀλλὰ προϊσχομένου Θεμιστοκλέος λόγον τόνδε, ὡς ἥκοιεν 'Αθηναῖοι περὶ ἑαυτοὺς ἔχοντες δύο θεοὺς μεγάλους, Πειθώ τε καὶ 'Αναγκαίην, οὕτω τε σφι κάρτα «δοτέα» εἶναι χρήματα, ὑπεκρίναντο... 'Ηροδ. 8, 111.

16. 'Ηρ. 'Οποῖα «δραστέ'» ἐστίν· εἰ δὲ μή, πατρὸς ἄλλου γενοῦ του μηδ' ἐμὸς κληθῇς ἔτι. Σοφ. Τραχ. 1204.

17. 'Αλλ', οἶμαι, τὰ μὲν τοιαῦτα «ἐατέα» καὶ συγγνωστέα λέγοντι· Πλάτ. Φρ. 11, 236.

18. Τὰ μὲν οὖν δὴ χορείας πέρι μελῶν τε καὶ ὀρχήσεως ἐρρήθη, τίνα

τύπον ἔχοντα «ἐκλεκτέα» τέ ἐστι καὶ ἐπανορθωτέα καὶ καθιερωτέα· Πλάτ. Νομ. Ζ, 14, 809, ϐ.

19. Ευρ. ἀνὴρ ὑϐρίζει· κλεῖε πηκτὰ δωμάτων. Δικ. ὦ θύμ', ἄνευ σκάνδικος «ἐμπορευτέα». Ἀριστφ. Ἀχαρνῆς 480.

20. «Ἐπανορθωτέα» ἰδὲ 10, 18.

21. «Ἐπιτρεπτέα» ἰδὲ 5, 3.

22. «Ἐπιχειρητέα» ἰδὲ 3, 6.

2. Ἐδόκει οὖν «ἐπιχειρητέα» εἶναι καὶ ξυνελέγοντο διορύσσοντες τοὺς κοινοὺς τοίχους παρ' ἀλλήλους, Θουκ. 2, 3, 3.

23. Ἐὰν δὲ δὴ καὶ τὰ ἔργα μάθῃ ὡς ἔστιν «ἐργαστέα», ἔτι τινός, ἔφην ἐγώ, προσδεήσεται, ἢ ἀποτετελεσμένος ἤδη οὗτός σοι ἔσται ἐπίτροπος; Ξενφ. Οἰκ. 13, 3

24, 1. Ὀρθῶς δὲ οἱ θεοὶ τότε μου ἠναντιοῦντο, φάναι αὐτόν, τῇ τοῦ λόγου ἐπισκέψει ὅτε ἐδόκει ἡμῖν «ζητητέα» εἶναι ἐκ παντὸς τρόπου τὰ ἀποφευκτικά. Ξενοφ. Ἀπολ. Σωκρ. 8.

2. Ἀρετὴ γὰρ καὶ κακία ὅ,τι βούλεται τὰ ὀνόματα «ζητητέα». Πλάτ. Κρατλ. 29, 415.

3. Οὐ γὰρ ἔστιν, ἀλλὰ δῆλον ὅτι ἄλλ' ἄττα «ζητητέα» πλὴν ὀνομάτων, ἃ ἡμῖν ἐμφανιεῖ ἄνευ ὀνομάτων, ὁπότερα τούτων ἐστὶ τἀληθῆ, δείξαντα δῆλον ὅτι τὴν ἀλήθειαν τῶν ὄντων. Πλάτ. Κρατλ. 43, 438, D.

25. «Ἡσσητέα» ἰδὲ 10, 2.

26. Ἀτὰρ οὐ γυναικῶν οὐδέποθ' ἐσθ' «ἡττητέα» ἡμῖν. Ἀριστφ. Λυσιστρ. 450.

27. «Θετέα» ἰδὲ 2, 373, 6.

28. Νε. «Θηρατέ'» οὖν γίγνοιτ' ἄν, εἴ πειρῶ δ' ἔχει. Σοφ. Φιλ. 116.

29. «Καθιερωτέα» ἰδὲ 10, 18.

30. Ὅμως δὲ «λεκτέα» ἃ γιγνώσκω. Ξενοφ. ΚΑ, 5, 6, 5.

2. Τὸν αὐτὸν οἶμον, ἦν δ' ἐγώ, πορευόμενοι εὑρήσομεν, ὡς ἐγᾦμαι, ἃ «λεκτέα». Πλάτ. Πολ. Δ, 1, 420, ϐ.

3. «Λεκτέα» μὲν ἀμφότερα τὰ τῶν αἰτιῶν γένη, χωρὶς δὲ ὅσαι μετὰ νοῦ καλῶν καὶ ἀγαθῶν δημιουργοὶ καὶ ὅσαι μονωθεῖσαι φρονήσεως τὸ τυχὸν ἄτακτον ἑκάστοτε ἐξεργάζονται. Πλάτ. Τιμ. 16, 46, Ε.

31. Ἐὰν μὲν γὰρ ἡδέα πρὸς ἡδέα ἱστῇς, τὰ μείζω ἀεὶ καὶ πλείω «ληπτέα»· Πλάτ. Πρωτ. 37, 356, ϐ.

32. «Μαθητέα» ἰδὲ 2, 125, 14.

33. Μαλθακιστέ'» ἰδὲ 10, 41.

34. «Νομιστέα» ἰδὲ 2, 185, 4.

35. Οὐ κλαυτὰ δ' ἐστιν, ἀλλ' ἐμοὶ μὲν «οἰστέα» τάδ', ὥσπερ ἂν ζῶ, σοῦ φονέως μεμνημένον, Σοφ. Οἰδ. Κ. 1360.

36. Τὸ μηδαμῇ παραδέχεσθαι αὐτῆς ὅση μιμητική· παντὸς γὰρ μᾶλλον οὐ «παραδεκτέα» νῦν καὶ ἐναργέστερον, ὡς ἐμοὶ δοκεῖ, φαίνεται, ἐπειδὴ χωρὶς ἕκαστα διῄρηται τὰ τῆς ψυχῆς εἴδη, Πλάτ. Πολ. 1, 1, 595.

37. «Παραδοτέα» ἰδὲ 10, 12.

38. Τῶν δὲ Ἀθηναίων ἔτυχε γὰρ πρεσβεία πρότερον ἐν τῇ Λακεδαίμονι περὶ ἄλλων παροῦσα, καὶ ὡς ᾔσθοντο τῶν λόγων, ἔδοξεν αὐτοῖς «παριτητέα» ἐς τοὺς Λακεδαιμονίους εἶναι τῶν μὲν ἐγκλημάτων μηδὲν ἀπολογησομένους, ὧν αἱ πόλεις ἐνεκάλουν, δηλῶσαι δὲ περὶ τοῦ παντὸς ὡς οὐ ταχέως αὐτοῖς βουλευτέον εἴη, ἀλλ' ἐν πλείονι σκεπτέον. Θουκυδ. 1, 72.

39. Ἱερ. οὔπω θέσφατον ἦν Εἰρήνης δέσμ' ἀναλῦσαι, ἀλλὰ τόδε πρότερον. Τρυ. τοῖς ἁλσί γε «παστέα» ταυτί. Ἀριστφ. Εἰρ. 1074.

40. Ἀθ. Ἀλλ' οὖν «πειρατέα» γε καὶ προθυμητέα. Πλάτ. Νομ. ς', 14, 770, β.

41. Σω. ἀπολεῖ κάκιστ'. Στρ. ἀλλ', ὦ 'γαθ', ἀπόλωλ' ἀρτίως. Σω. οὐ μαλθακιστέ', ἀλλὰ «περικαλυπτέα». Ἀριστφ. Νεφ. 727.

42, 1. Ἐμοὶ μὲν οὖν ἔστ' ἐς Σαλαμῖνα «πλευστέα». Ἀριστφ. Λυσιστρ. 411.

2. «Πλευστέα» ἰδὲ 9, 2.

43, 1. «Ποιητέα» μέν νυν ταῦτά ἐστι οὕτω, ἵνα δὲ μὴ ἰδιοβουλεύειν ὑμῖν δοκέω, τίθημι τὸ πρῆγμα ἐς μέσον, γνώμην κελεύων ὑμέων τὸν βουλόμενον ἀποφαίνεσθαι. Ἡροδ. 7, 8, 4.

2. Ἀρτάβανε, ἐγὼ τὸ παραυτίκα μὲν οὐκ ἐφρόνεον εἴπας ἐς σε μάταια ἔπεα χρηστῆς εἵνεκεν συμβουλίης, μετὰ μέντοι οὐ πολλὸν χρόνον μετέγνων, ἔγνων δὲ ταῦτα μοι «ποιητέα» ἐόντα, τὰ σὺ ὑπεθήκαο. Ἡροδ. 7, 15, 3.

3. Ταῦτα μέν νυν ἐς τοσοῦτο παρεγύμνου, ἐπὶ δὲ τοῖσι κατήκουσι πρήγμασι τάδε «ποιητέα» εἶναί σφι ἔλεγε· Ἡροδ. 8, 19.

4. Ὡς δὲ ἐβουλεύετο ἅμα Περσέων τοῖσι ἐπικλήτοισι, ἔδοξέ οἱ καὶ Ἀρτεμισίην ἐς συμβουλίην μεταπέμψασθαι, ὅτι πρότερον ἐφαίνετο μούνη νοεῦσα τὰ «ποιητέα» ἦν. Ἡροδ. 8, 101.

5. Τούτῳ μὲν γὰρ ταῦτα «ποιητέα» ἐστί, τύραννος γὰρ ἐὼν τυράννῳ συγκατεργάζεται, ὑμῖν δέ γε οὐ «ποιητέα», εἴπερ εὖ τυγχάνετε φρονέοντες, ἐπισταμένοισι ὡς βαρβάροισί ἐστι οὔτε πιστὸν οὔτε ἀληθὲς οὐδέν. Ἡροδ. 8, 142².

6. Ἔδοξέ τε τοῖσι Πελοποννησίοισι ταῦτα εἶναι «ποιητέα», καὶ ἔταμον ὅρκια ἐπὶ λόγῳ τοιῷδε, ἢν μέν . . . Ἡροδ. 9, 26.

7. Οἱ δὲ ξυνεγίγνωσκον μὲν καὶ αὐτοὶ οὐχ ἧσσον ταῦτα ἐκείνου καὶ ἐδόκει «ποιητέα» εἶναι, Θουκ. 7, 73, 2.

8. Τὰ μὲν γὰρ ἀναγκαῖα συνεβούλευε καὶ πράττειν, ὡς νομίζοιεν ἄριστ' ἂν πραχθῆναι· περὶ δὲ τῶν ἀδήλων ὅπως ἀποβήσοιτο μαντευσομένους πέμπειν, εἰ «ποιητέα»· Ξενοφ. Ἀπ. I, 1, 6.

9. Καὶ περὶ τοῦ πεποιῆσθαι δὲ τἀπιτήδεια πάντα ἐν καιρῷ ὡσαύτως διατέτακται ἑκάστοις τὰ «ποιητέα». Ξενοφ. ΚΠ, 8, 5, 5.

10. Ἡμῖν δέ γε οἶμαι πάντα «ποιητέα» ὡς μήποτε ἐπὶ τοῖς βαρβάροις γενώμεθα, ἀλλὰ μᾶλλον ἐκεῖνοι ἐφ' ἡμῖν. Ξενοφ. ΚΑ. 3, 1, 35.

11. Ὅταν δὲ τελεσθῇ τὰ ἱερά, ὁ βασιλεὺς προσκαλέσας πάντα παραγγέλλει τὰ «ποιητέα». Ξενοφ. Λακ. π. 13, 5.

12. Λυσ. Ἀγανακτεῖς· ἀλλὰ «ποιητέα» ταῦτ' ἐστὶν ὅμως. Ἀριστφ. Λυσ. 500.

13. Ταῦτα μὲν οὖν, ὦ ἄνδρες δικασταί, τούτοις «ποιητέα» ἦν, ὑμῖν δέ γε (τὸ) ἐναντίον τούτων· Ἀνδοκ. 1, 136.

44, 1. Καὶ τῶν μὲν πλειόνων ἐπὶ τὸ αὐτὸ αἱ γνῶμαι ἔφερον ἀδικεῖν τε τοὺς Ἀθηναίους ἤδη καὶ «πολεμητέα» εἶναι ἐν τάχει· Θουκ. 1, 79, 2.

2. Ἐψηφίσαντο δὲ οἱ Λακεδαιμόνιοι τὰς σπονδὰς λελύσθαι καὶ «πολεμητέα» εἶναι, οὐ τοσοῦτον τῶν ξυμμάχων πεισθέντες τοῖς λόγοις ὅσον φοβούμενοι τοὺς Ἀθηναίους μὴ ἐπὶ μεῖζον δυνηθῶσιν, ὁρῶντες αὐτοῖς τὰ πολλὰ τῆς Ἑλλάδος ὑποχείρια ἤδη ὄντα. Θουκ. 1, 88.

3. Ἐπεὶ δ' ἐκηρύχθη καὶ κατεσκέψαντο τήν τε πόλιν καὶ τοὺς λιμένας καὶ τὰ περὶ τὴν χώραν, ἐξ ἧς αὐτοῖς ὁρμωμένοις «πολεμητέα ἦν, ἀπέπλευσαν πάλιν ἐς Κατάνην. Θουκ. 6, 50, 5.

45. Οὐ τοσαῦτα μὲν παιδία ἃ ὑμεῖς φίλια ὄντα σὺν πολλῷ πόνῳ διαπορεύεσθε, τοσαῦτα δὲ ὄρη ὁρᾶτε ὑμῖν ὄντα «πορευτέα», ἡμῖν ἔξεστι προκαταλαβοῦσιν ἄπορα ὑμῖν παρέχειν, Ξενοφ. 2, 5, 18.

46,1. Ἐὰν δὲ τὰ ἡδέα ὑπὸ τῶν ἀνιαρῶν, οὐ «πρακτέα» Πλτ.Πρτ.37,356,C.

2. Οὐδ' αὖ ἰδία μὲν ἀπορεῖτε, ἐλθόντες δὲ εἰς τὸ αὐτὸ οὐκέτι ἀπορεῖτε, ἀλλ' ἱκανοὶ γίγνεσθε ξυνορᾶν ποῖα «πρακτέα» ἐστὶν ὑμῖν, καὶ ταῦτα παρ' οὐδενὸς μαθόντες οὐδ' αὐτοὶ εὑρόντες, ὅ ἐστι δεινότατον ἁπάντων. Πλάτ. Δημ. 3,381, E.

3. Οὐκοῦν οἱ ἐπιστάμενοι τὰ κακὰ καὶ τὰ ἀγαθά, καὶ ὅσα «πρακτέα» καὶ ὅσα μή, οὗτοι ἂν ὀρθότατα πράττοιεν καὶ ἐλάχιστα ἐξαμαρτάνοιεν; Πλάτ. Ἐρυξ. 5, 393, E.

4. Οἱ γὰρ πατέρες ἡμῶν, ὅθ' ὑπὲρ τῶν ἐπιτηδευμάτων καὶ τῶν ἐκ φύσεως ἀναγκαίων κακῶν καὶ ἀγαθῶν ἐνομοθέτουν, ἃ τοῖς ἐλευθέροις ἡγοῦντο εἶναι «πρακτέα», ταῦτα τοῖς δούλοις ἀπεῖπον μὴ ποιεῖν. Αἰσχίνης 1, 138.

47. «Προθυμητέα» ἰδὲ 10, 40.

48. Τρίτη δὲ εἰκάδι τῶν ζώων ἔστω πρᾶσις, ὅσα «πρατέα» ἑκάστοις ἢ ὠνητέα αὐτοῖς δεομένοις, Πλάτ. Νομ. 14, 849, C.

49. Ἆρα οὐ δοκεῖ σοι τῷ τε αὐτῆς ὀνόματι ἀεὶ «προσαγορευτέα» εἶναι καὶ τῷ τοῦ περιττοῦ, ὄντος οὐχ οὗπερ τῆς τριάδος; Πλάτ. Φδ. 52. 104.

50. Πάνθ', ὡς ἔοικεν, ὦ Ἀθηναῖοι, «προσδοκητέα» ἐστὶ καὶ ἀκοῦσαι καὶ ἰδεῖν ἐν ταῖς γεγενημέναις ἀποφάσεσι· Δειναρχ. 2, 1.

51. Τὸ δὲ δὴ ἐκ τῆς Εὐρώπης ἀγόμενον στράτευμα ἔτι «προσλογιστέα» τούτῳ παντὶ τῷ ἐξηριθμημένῳ· Ἡροδ. 7, 185.

52, 1. «Ῥητέα» ἰδὲ 10, 1, 5.

2. Νῦν δ' ἔστι δῆλα ἅ τ' ἐστὶ καὶ ὅτι πρῶτα πᾶσι «ῥητέα». Πλάτ. Νομ. Ζ, 7, 796, Ε.

53. Σω. Τί δέ; τὸν μελίγηρον Ἄδραστον οἰόμεθα ἢ καὶ Περικλέα, εἰ ἀκούσειαν ὧν νῦν δὴ ἡμεῖς διῆμεν τῶν παγκάλων τεχνημάτων, βραχυλογιῶν τε καὶ εἰκονολογιῶν καὶ ὅσα ἄλλα διελθόντες ὑπ' αὐγὰς ἔφαμεν εἶναι «σκεπτέα», πότερον . . . Πλάτ. Φρ. 53, 269.

54. «Συγγνωστέα» ἰδὲ 10, 17.

55,1. Αν. ὁρᾷς τὰ τοὐδ' οὖν ὡς ἐς ὀρθὸν ἐκφέρει μαντεύμαθ', ὡς σφῷν θάνατον ἐξ ἀμφοῖν θροεῖ; Πο. χρῄζει γάρ. ἡμῖν δ' οὐχὶ «συγχωρητέα». Σοφ. Οἰδ. Κ. 1426.

2. Κλ. Κάλλιστα εἶπες, «συγχωρητέα» τε τούτοις. Πλάτ. Νομ. I,7,895.

56. Αν. Α. ὦ δαιμόνι' ἀνδρῶν, ἔα με τῶν προὔργου τι δρᾶν. ταυτὶ γὰρ ἐστι «συνδετέα». Ἀριστ. Ἐκκλ. 785.

57. Χρε. Ὅμως δ' ἐπειδὴ καὶ τὸν οἶνον ἠξίους πίνειν, «συνεκποτέ'» ἐστί σοι καὶ τὴν τρύγα. Ἀριστφ. Πλ. 1085.

58. Τισίαν δὲ Γοργίαν τε ἐάσομεν εὕδειν, οἳ πρὸ τῶν ἀληθῶν τὰ εἰκότα εἶδον ὡς «τιμητέα» μᾶλλον, Πλάτ. Φδρ. 51, 267.

59. «Τιμωρητέα» ἰδὲ 10, 12.

60. Πρὸς δὲ τούτοις οὐδ' ἐκεῖνα «φοβητέα», δείσαντα τὴν δόξασαν ἂν γίγνεσθαι σμικρολογίαν, ἂν τις προστάττῃ πάντα ὁπόσα ἂν σκεύη κτῶνται, μηδὲν ἄμετρον αὐτῶν ἐᾶν εἶναι, Πλάτ. Νομ. Ε, 16, 746, Ε.

61. Δεινὰ γὰρ βουλεύεται Μενέλαος εἰς σὲ παῖς θ', ἃ σοι «φυλακτέα». Εὐριπ. Ἀνδρμχ. 63.

62. «Ὠνητέα» ἰδὲ 10, 48.

ΣΗΜ. Τὸ 10, 4 δυνατὸν καὶ θηλυκῶς θεωρηθῆναι.

ΠΙΝΑΞ Β'.

Α'.

	τέος.	τέα. (θηλ.)	τέη.	τέον.	τέοι.	τέαι.	τέα. (οὐδ.)	τέων.	τέους.	τέας.	Ἅπαντα.	Σελίδες.
1 Ὅμηρος.												895
2 Ἡσίοδος.	1			1				1			3	71
	1			1				1			3	
3 Σαπφώ.												30
4 Ἀνακρέων.												64
5 Πίνδαρος.				1							1	236
				1							1	
6 Αἰσχύλος.	2			3							5	282
	2			3							5	
7 Σοφοκλῆς.	1	2		20			9				32	381
	1	2		22			9				34	
8 Εὐριπίδης.	6			42			1				49	1223
	7			59			1				67	
9 Ἀριστοφάνης.	4	2		33		1	13				53	612
	4	2		40		1	13				60	
10 Ἡρόδοτος.	1		1	6			6				14	728
	1		1	8			12				22	
11 Ἀντιφῶν.		2		3							5	143
		2		3							5	
12 Θουκυδίδης.		3		13			13			1	30	601
		3		15			15			1	34	
13 Γοργίας.				4							4	24
				4							4	
14 Ἀντισθένης.		1									1	10
		1									1	
15 Ἀλκιδάμας.												24
16 Ἀνδοκίδης.				2			1				3	97
				2			1				3	
17 Λυσίας.				5							5	246
				5							5	
18 Λυκοῦργος.				3							3	46
				3							3	
19 Ἰσοκράτης.	2			53				1			56	520
	2			97				1			100	
20 Ἰσαῖος.				2							2	160
				4							4	
21 Ὑπερείδης.				1							1	194
				1							1	
22 Αἰσχίνης.				6			1				7	210
				9			1				10	
23 Δημοσθένης.	4			43	2		1	1			51	1286
	4			72	2		1	1			80	

		θηλ.					οὐδ.					
	τέος.	τέα.	τέη.	τέον.	τέοι.	τέαι.	τέα.	τέων.	τέους.	τέας.	Ἅπαντα	Σελίδες.
24 Δείναρχος.				6			1				7	73
				7			1				8	
25 Πλάτων	43	6		276	8	4	31			2	340	2390
	16	7		996	9	4	38			2	1072	
26 Ξενοφῶν.	4	5		116	2		5		2		134	1292
	4	5		205	3		8		2		227	
27 Αἰσχίνης ὁ Σω-				1			1				2	40
κρατικός.				4			1				5	
28 Ἅπαντα.	38	21	1	643	12	5	83	3	2	3	811	11788
	42	22	1	1561	14	5	101	3	2	3	1754	

ΣΗΜ. Ὁ μὲν πρῶτος στίχος σημαίνει τὰς λέξεις, ὁ δὲ δεύτερος τὰ ἐπὶ τῶν λέξεων παραδείγματα.

ΠΙΝΑΞ Γʹ.

Αʹ.

1	Πλάτων.	340.
2	Ξενοφῶν.	134.
3	Ἰσοκράτης.	56.
4	Ἀριστοφάνης.	53.
5	Δημοσθένης.	51.
6	Εὐριπίδης.	49.
7	Σοφοκλῆς.	32.
8	Θουκυδίδης	30.
9	Ἡρόδοτος	14.
10	Αἰσχίνης.	7.
11	Δείναρχος.	7.
12	Αἰσχύλος.	5.
13	Ἀντιφῶν.	5.
14	Λυσίας	5.
15	Γοργίας.	4.
16	Ἀνδοκίδης.	3.
17	Λυκοῦργος.	3.
18	Αἰσχίνης ὁ Σωκρατικός.	3.
19	Ἰσαῖος.	2.
20	Ἡσίοδος.	1.
21	Πίνδαρος	1.
22	Ἀντισθένης	1.
23	Ὑπερείδης.	1.

ΣΗΜ. Οὗτος ὁ πίναξ δηλοῖ τὴν τῶν ῥηματικῶν συνήθη χρῆσιν.

Βʹ.

1	Πλάτων.	1072.
2	Ξενοφῶν.	227.
3	Ἰσοκράτης.	100.
4	Δημοσθένης.	80.
5	Εὐριπίδης.	67.
6	Ἀριστοφάνης.	60.
7	Σοφοκλῆς.	34.
8	Θουκυδίδης.	34.
9	Ἡρόδοτος.	22.
10	Αἰσχίνης.	10.
11	Δείναρχος.	8.
12	Αἰσχύλος.	5.
13	Ἀντιφῶν.	5.
14	Λυσίας.	5.
15	Αἰσχίνης ὁ Σωκρατικός.	5.
16	Γοργίας.	4.
17	Ἰσαῖος.	4.
18	Ἡσίοδος.	3.
19	Λυκοῦργος.	3.
20	Ἀνδοκίδης.	3.
21	Πίνδαρος.	1.
22	Ἀντισθένης.	1.
23	Ὑπερείδης.	1.

ΣΗΜ. Οὗτος δὲ δηλοῖ τὴν τῶν παραδειγμάτων συνήθη χρῆσιν.

Γ.'

		Σελίδες	Ρηματικά
1	Γοργίας	480	80.
2	Πλάτων	478	68.
3	Ἰσοκράτης	470	51.
4	Ξενοφῶν	484	51.
5	Ἀντισθένης	480	48.
6	Δείναρχος	474	45.
7	Ἀριστοφάνης	470	40.
8	Σοφοκλῆς	476	40.
9	Λυκοῦργος	473	31.
10	Θουκυδίδης	470	23.
11	Δημοσθένης	483	19.
12	Εὐριπίδης	459	17.
13	Ἀντιφῶν	470	17.
14	Αἰσχίνης	485	16.
15	Αἰσχίνης ὁ Σωκρ.	480	15.
16	Ἀνδοκίδης	485	15.
17	Λυσίας	492	10.
18	Ἡρόδοτος	512	10.
19	Αἰσχύλος	451	8.
20	Ἡσίοδος	497	7.
21	Ἰσαῖος	560	7.
22	Ὑπερείδης	620	6.
23	Πίνδαρος	708	3.

ΣΗΜ. Οὗτος δὲ δηλοῖ τὸ πλῆθος τῶν ῥηματικῶν ἐπιθέτων κατὰ τὸ μέγεθος τοῦ συγγράμματος· εἰ γὰρ εἶχον οἱ συγγραφῆς ποιηταί τε καὶ πεζοὶ τὸν ἀριθμὸν τῶν ἄνω σελίδων, ἔδει τὰ ἄνω ῥηματικὰ ἔχειν αὐτούς.

Δ'.

		Σελίδες	Παραδείγ.
1	Πλάτων	478	214.
2	Ἰσοκράτης	458	87.
3	Ξενοφῶν	483	85.
4	Γοργίας	480	80.
5	Αἰσχίνης ὁ Σωκρ.	480	60.
6	Δείναρχος	457	50.
7	Ἀντισθένης	480	48.
8	Ἀριστοφάνης	478	47.
9	Σοφοκλῆς	476	43.
10	Λυκοῦργος	460	30.
11	Δημοσθένης	483	30.
12	Θουκυδίδης	450	25.
13	Εὐριπίδης	443	24.
14	Αἰσχίνης	470	22.
15	Ἡσίοδος	497	21.
16	Ἀντιφῶν	470	17.
17	Ἀνδοκίδης	485	15.
18	Ἡρόδοτος	479	14.
19	Λυσίας	492	10.
20	Αἰσχύλος	451	8.
21	Ἰσαῖος	480	6.
22	Ὑπερείδης	520	5.
23	Πίνδαρος	708	3.

ΣΗΜ. Κατὰ τὸν αὐτὸν λόγον καὶ οὗτος ὁ πίναξ σημαίνει τὸ πλῆθος τῶν παραδειγμάτων ἐπὶ τῶν ῥηματικῶν ἐπιθέτων.

Ἐπεὶ μετέβην οἴκαδε τοῦ θανάτου τοῦ πατρός μου ἕνεκα, πιθανὸν τοῦ τύπου σφάλματα ὑπάρχειν, διὸ ἐπιεικὴς ἔστω ὁ ἀναγνώστης.

Τιμᾶται δραχμῶν νέων δύο.